Pegon ereuna

ΠΗΓΩΝ ΕΡΕΥΝΑ

tou Ploutarchou

ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ

en Biou Agesilaou

ΕΝ ΒΙΩι ΑΓΗΣΙΛΑΟΥ

ΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΩΣ

INAUGURAL—DISSERTATION

ZUR


ERLANGUNG DER PHILOSOPHISCHEN DOCTORWÜRDE

VORGELEGT DER

HOHEN PHILOSOPHISCHEN FACULTÄT DER UNIVERSITÄT
LEIPZIG

VON

MICHAEL PETROU



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ ΠΑΡΑ ΤΟΝ ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ

1888

ϑegon ... a

ΠΗΓΩΝ ΕΡΕΥΝΑ

ton Ploutarchou

ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ

en Biōi Agesilaou

ΕΝ ΒΙΩι ΑΓΗΣΙΛΑΟΥ

ΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΩΣ

INAUGURAL—DISSERTATION

ZUR


ERLANGUNG DER PHILOSOPHISCHEN DOCTORWÜRDE

VORGELEGT DER

HOHEN PHILOSOPHISCHEN FACULTÄT DER UNIVERSITÄT LEIPZIG

VON

MICHAEL PETROU



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ ΠΑΡΑ ΤΟΝ ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ

1888

ΠΗΓΩΝ ΕΡΕΥΝΑ

ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ

ΕΝ ΒΙΩι ΑΓΗΣΙΛΑΟΥ

ΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΩΣ

INAUGURAL—DISSERTATION

ZUR


ERLANGUNG DER PHILOSOPHISCHEN DOCTORWÜRDE

VORGELEGT DER

HOHEN PHILOSOPHISCHEN FACULTÄT DER UNIVERSITÄT
LEIPZIG

VON

MICHAEL PETROU



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ ΠΑΡΑ ΤΟΝ ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ

1888

ΠΗΓΩΝ ΕΡΕΥΝΑ

ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ

ΕΝ ΒΙΩι ΑΓΗΣΙΛΑΟΥ

ΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΩΣ

Τὰς τοῦ Πλουτάρχου πηγὰς ἐν τῷ βίῳ τοῦ τῶν Λακεδαιμονίων βασιλέως Ἀγησιλάου ἐπιχειρῶν ἐρευνῆσαι ἀναγκαῖον ἡγοῦμαι βραχέα τινὰ περὶ τῶν πρότερον περὶ τοῦ αὐτοῦ γραψάντων εἰπεῖν.

Γενικῶς μὲν καὶ διὰ βραχέων περὶ τὸ αὐτὸ ἐν τοῖς ἑαυτῶν συγγράμμασι περὶ τῶν πηγῶν συμπάντων τῶν τοῦ Πλουτάρχου βίων ἠσχόληνται Heeren [1] καὶ Haug [2], εἰδικῶς δὲ καὶ διεξοδικῶς ἐν τῇ περὶ τῶν πηγῶν τοῦ βίου τοῦ Λυσάνδρου ἐναισίμῳ αὐτοῦ διατριβῇ Stedefeldt[3]. Τούτων δ' ὁ μὲν πρῶτος οὐ πόρρω μὲν τῆς ἀληθείας ἱστάμενος, ὥς γέ μοι δοκεῖ, οὐ δι' ἀκριβοῦς δ' ὅμως ἀποδεικνὺς ἐρεύνης ἁπλῶς ἀποφαίνεται, ὅτι γράφων ὁ Πλούταρχος τὸν τοῦ Ἀγησιλάου βίον πρῶτον ἐξελέξατο καὶ κύριον ἐν τῇ αὐτοῦ ἐργασίᾳ ὁδηγὸν τὸν Ξενοφῶντα, καὶ δὴ τὴν ἑλληνικὴν ἱστορίαν, δευτέρᾳ τῷ Ἐφόρῳ χρώμενος πηγῇ. Ὁ δὲ δεύτερος, οὐκ ἐν πᾶσι τὴν τοῦ Heeren ἀποδεχόμενος γνώμην, ὅπερ οὐ διαρρήδην μέν φησι, ῥᾳδίως δ' ἄν τις ἐκ τῶν ὑπ' αὐτοῦ λεγομένων εἰκάσειεν, ἀποφαίνεται πρῶτον μέν, ὡς ἠδύνατο ὁ Πλούταρχος τῷ Ξενοφῶντι κυρίως χρήσασθαι πηγῇ, οὐ μὴν αὐτῷ πιστῶς ἐνέμεινε, πολλὰ μὲν ἐν τῷ τοῦ Ἀγησιλάου βίῳ παραλαβών,

[1] Heeren, De fontibus et auctoritate vitt. parall. Plutarchi commentt. IV, Gott. 1820.

[2] M. Haug, Die Quellen Plut. in den Lebensbeschreibungen der Griechen, Tübingen 1854.

[3] H. S. Stedefeldt, De Lysandri Plutarchei fontibus, Bonne 1867.

ἅπερ οὐ παρὰ Ξενοφῶντι εὕρηται, οὐκ ὀλίγα δὲ παραλιπών, ἅπερ οὗτος ἱστορεῖ. Ἔπειτα δέ, ὡς ὁ βιογράφος τὸ εἰς Ἀγησίλαον ἐγκώμιον τοῦ Ξενοφῶντος μᾶλλον συνεβουλεύσατο τῆς Ἑλληνικῆς ἱστορίας· καὶ τελευταῖον, ὡς πλείονα ἐκ τοῦ Ἐφόρου ἢ ἐκ τοῦ Ξενοφῶντος ἠρύσατο[1]. Καὶ οὐ βούλομαι μὲν τὸ τῆς παρατηρήσεως ὀρθὸν ἀρνήσασθαι, ὅτι οὐ πάντα τὰ παρὰ Ξενοφῶντι φερόμενα ὁ Πλούταρχος παρείληφεν, οὐ μέντοι τούτου ἕνεκεν οἶμαι ἡγεῖσθαι δεῖν, ὅτι οὐ τῷ Ξενοφῶντι κυρίως ἐχρήσατο πηγῇ· οὐ γὰρ εἰκὸς ἀξιοῦν ἅπαντα παρὰ τῷ βιογράφῳ ζητεῖν, ἅπερ παρὰ τῷ ἱστορικῷ φέρεται, ἅτε διαφόρου πάνυ τοῦ σκοποῦ ὄντος ἀμφοτέρων· ἐπειδὴ οὐδαμῶς ἐκείνῳ οἱ τῶν Ἑλλήνων διέφερον ἐσωτερικοὶ καὶ ἐξωτερικοὶ ἀγῶνες, ὡς ὀρθῶς ὑπὸ πολλῶν ὁμολογεῖται φιλολόγων καὶ σαφῶς ἐκ τῶν ὑπ' αὐτοῦ λεγομένων καταφαίνεται. Τάδε γὰρ ἐν τῷ τοῦ Μεγάλου Ἀλεξάνδρου βίῳ φησὶ «Τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον...γράφοντες οὐδὲν ἄλλο προεροῦ»μεν ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα μηδὲ »καθ' ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλ' »ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. Οὔτε γὰρ ἱστορίας γρά»φομεν, ἀλλὰ βίους, οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνε»στι δήλωσις ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ »ῥῆμα καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι μυριό»νεκροι καὶ παρατάξεις αἱ μέγισται καὶ πολιορκίαι πόλεων. Ὥσπερ »οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου καὶ τῶν περὶ »τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ εἶδος, ἀναλαμβάνουσιν, ἐλάχιστα »τῶν λοιπῶν μερῶν φροντίζοντες, οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς »σημεῖα μᾶλλον ἐνδύεσθαι καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου »βίον, ἐάσαντες ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.» (Πλουτ. Ἀλεξ. 1). Οὐδὲ παραδέχεσθαι δεῖ τοῦ Πλουτάρχου, γράφοντος τοὺς βίους, ταύτην εἶναι τὴν προαίρεσιν, αὐτοῖς ῥήμασι τὰς πηγὰς πάσας, αἷς ἐχρῆτο, ἀντιγράφειν. Τοσαῦτα τοίνυν ἐξ αὐτῶν ἠρύετο, ὅσα τῷ σκοπῷ αὐτοῦ καὶ τῇ γνώμῃ ἐπιτήδεια ἐδόκει Οὐδ' αἱ λοιπαὶ τοῦ Haug

[1] Σελ. 56. Hier Konnte Plutarch hauptsächlich den Xenophon, den begeisterten Lobredner des Agesilaus,benutzen. Er hat sich jedoch nicht streng an ihn gehalten, sondern manches aufgenommen, was Xenophon nicht hat, und manches weggelassen, was er hat. Verhältnissmässig mehr als die Hellenika ist die Lobrede auf Agesilaus zu Rathe gezogen worden...... Mehr als Xenophon ist Ephorus benutzt worden...

γνῶμαι, ὡς τὸ εἰς Ἀγησίλαον ἐγκώμιον ὁ Πλούταρχος μᾶλλον συνεβουλεύετο ἢ τὴν Ἑλληνικὴν ἱστορίαν, καὶ ὡς ἐκ τοῦ Ἐφόρου πλείονα ἢ τοῦ Ξενοφῶντος ἠρύσατο, ἐπιτυχεῖς δοκοῦσί μοι. Πᾶς γὰρ ὁ ἐπιμελῶς τὰ καθ' ἕκαστα τοῦ βίου διεξιὼν ῥᾳδίως πάνυ περὶ τοῦ ἐναντίου πείθεται, ὡς σαφῶς ἐν τοῖς ἑπομένοις δηλωθήσεται.

Ἀλλὰ μὴν ὁ τρίτος τῶν εἰρημένων μοι φιλολόγων, ὁ Stedefeldt, πορρωτέρω χωρῶν ἀποφαίνεται, ὡς τὸν προκείμενον ὁ Πλούταρχος γράφων βίον οὐ τῷ Ξενοφῶντι κυρίᾳ καὶ ἀμέσῳ ἐχρήσατο πηγῇ, ἀλλὰ τῷ Ἐφόρῳ, καὶ δὴ οὕτως ὥστε τὸν μὲν Ξενοφῶντα ὁ Ἔφορος, τοῦτον δὲ ὁ ἡμέτερος ἀντέγραψε βιογράφος. Τάδε δ' αἴτιον αὐτῷ ἐγένετο τοῦ τὴν γνώμην ταύτην ἀποδέξασθαι. Ἐξετάσας τινὰ τῶν τοῦ βίου τοῦ Ἀγησιλάου κεφαλαίων (3, καὶ 6—20) εὗρεν ἐν αὐτοῖς πρῶτον μέν, ὡς εἰωθὼς ὁ Πλούταρχος ἐν τῇ ἀφηγήσει μικροῦ ἀξίων συμβάντων τὰ τῶν συγγραφέων παρατίθεσθαι ὀνόματα, παρ' ὧν ταῦτα παρείληφεν, ὡς ἐν κεφ. 3 Δοῦριν, κεφ. 13 Ἱερώνυμον, κεφ. 19 τὸν Ξενοφῶντα καὶ ἀναγραφὰς λακωνικάς, οὐ ταὐτὸ ποιεῖται πλείστου ἄξια ἱστορῶν, ὡς τὸ ἐν κεφ. 20 ἐστίν, ἔνθα οἱ περὶ ἀνατροπῆς τῆς τῶν Σπαρτιατῶν πολιτείας σκοποὶ τοῦ Λυσάνδρου ἱστοροῦνται κ.λ.π.[1] Ἔπειτα δέ, ὡς πολλὰ παρὰ τῷ Πλουτάρχῳ μόνον, οὐχὶ δὲ καὶ παρὰ τῷ Ξενοφῶντι φερόμενα οὕτω τεχνηέντως τῇ πάσῃ συνημμένα ἐστὶν ἀφηγήσει, ὥστε μόλις ἄν τις πιστεύσειεν ὑπὸ τοῦ Πλουτάρχου ταῦτα οὕτω συνῆφθαι[2]. Ἐξ ὧν ὁ Stedefeldt εἰκάζει ἅμα μὲν ὅτι οὐχ ὁ Ξενοφῶν ἡ πρώτη τοῦ Πλουτάρχου πηγή ἐστιν, ἅμα δὲ ὅτι ἡ πρὸς τὴν ὅλην ἀφήγησιν τεχνικὴ τῶν παρὰ Πλουτάρχῳ μόνον φερομένων συναφὴ τῷ συγγραφεῖ ὀφείλεται, ὃν αὐτὸς ἀντέγραψεν[3]. Οὗτος δὲ ὁ μετὰ τοσαύτης τέχνης

[1] Σελ. 40. Haec omnia, quae Plutarchus aut addidisse videtur Xenophonti aut aliter atque ille narrare, si Xenophontis historia Graeca usus est fonte primario satis multae caussae sunt, cur miramus. Ac primum quidem cur tanta sit ejus in laudandis scriptoribus inconstantia. Cum enim saepius in rebus exiguis, quas ipse narrationi inserit nequaquam auctorem afferre sepersedeat, quemadmodum....., mirum est, ab hac consietudine discedit in rebus gravissimis.

[2] Σελ. 41. Sed vel mirabilius est, quod tam artificiose hic Plutarchus ea, quae addidit, cum universa narratione conjunxit, ut eundem scriptorem tam misere consarcinasse tria illa Lysandri capita, quae suqra examinavimus, nemo crediderit. Sic ut taceam...

[3] Σελ. 42. Quare si recte disputavimus Plutarchum Xenophonte usum esse

τὰς ἁπλᾶς τοῦ Ξενοφῶντος ἀφηγήσεις νέαις διακοσμήσας καὶ πλουτίσας ὁ Ἔφορός ἐστιν, ὃς καὶ πρώτη τοῦ Πλουτάρχου ἦν πηγή[1]. Καὶ ἵνα ταῦτα τελευταῖον τεκμηριώσῃ, τὸ 130 τοῦ Ἐφόρου παραβάλλει ἀπόσπασμα (Müller, histor. graec. fragm. I), τὸ ὑπὸ τοῦ Ἀθηναίου ἐν τοῖς Δειπνοσοφισταῖς 11, 500, B ἡμῖν διασωθέν, πρός τι τοῦ Ξενοφῶντος χωρίον (Ἑλλην. ἱστορ. 3, 1, 8), ἐν ᾧ βραχέως ὑπ' αὐτοῦ τὸ αὐτὸ ἱστορεῖται, παρατηρῶν ὅτι τὰ μετὰ μεγαλοπρεποῦς καὶ λακωνικῆς βραχύτητος ὑπὸ τοῦ Ξενοφῶντος ἱστορούμενα μετὰ ῥητορικῆς ἀφηγεῖται ὁ Ἔφορος τέχνης[2].

Θαυμάζει ὁ Stedefeldt τὴν ἀστασίαν (inconstantia), ἣν ὁ ἡμέτερος ἔχει βιογράφος περὶ τὸ τοὺς ἱστορικοὺς ὀνομάζειν, οὓς κατὰ τὴν τοῦ προκειμένου βίου συγγραφὴν συνεβουλεύετο. Ἡμεῖς μέν τοι οὐ τοῦτο θαυμάζομεν, ἀλλὰ τοὐναντίον θαυμαστὸν ἂν ἦν, εἰ συχνῶς τοὺς τοιούτους παρατιθεμένους ἑωρῶμεν συγγραφεῖς. Οὐ γὰρ μόνον ἐκ τῆς τῶν βίων ἀκριβοῦς πειθόμεθα ἀναγνώσεως, ἀλλὰ καὶ ὑπὸ πολλῶν φιλολόγων, οἳ περὶ τὴν τῶν πηγῶν ἔρευναν τῶν βίων τοῦ Πλουτάρχου ἠσχόληνται, διδασκόμεθα, ὅτι εἴωθεν ὁ Πλούταρχος τὴν μὲν πρώτην αὐτοῦ καὶ κυρίαν πηγὴν σιωπᾶν ἢ σπανίως πάνυ ἀναφέρειν, τότε δὲ σύγγραμμά τι ὀνομάζειν, ὅταν ἢ μίαν μόνην παρ' αὐτοῦ ληφθεῖσαν σημείωσιν παρεμβάλλῃ ἐν τῇ κυρίᾳ διηγήσει, ἢ τὰ ἐν αὐτῷ ἱστορούμενα οὐκ ὀρθὰ δηλῶσαι βούληται[3]. Ὧν πρόδηλον ὁ τοῦ Α-

fonte primario eique addidisse ipsum quas res supra collegimus, minime veri simile est. Imo propter has ipsas res jam auctorem Plutarchi tali modo Xenophonteæ narrationi aliena inseruisse concedendum erit.

[1] Σελ. 42 — 43 Jam cum duas res, quas Plutarchus addidisse videtur, Ephoro vindicandas esse certo sciamus, vix temeritatis crimen subeamus, si eo biographum fonte primario usum esse contendamus.

[2] Σελ. 43. Quod autem hic Ephorum vidimus magnas operis Xenophontei partes tantum non integras in suum usum convertisse, ut pauca aut adderet aut mutaret id felicissimme comprobatur si fragm. 130 (Müller) apud Athen. 11, p. 500 B comparaveris cum Xenoph. Histor. Gr. III, 1, 8. . . . Hic enim Ephorus, quae Xenophon magnifica quadam et laconica brevitate compresendit, eisdem artibus rhetoricis aut exsequitur, etc.

[3] Sauppe: Die Quellen Plutarchs für das Leben des Perikles: (in den Abhn. d. Kön. Geselleshaft d. Wiss. zu Cöttingen 13 B. hist. phil. Klasse S. 31). Cewohnheit des Plutarch ist die Quelle, welcher er bestimmend folgt nicht zu nennen, sondern meistens eine Schrift oder einen Schriftsteller

γησιλάου βίος παρέχει τεκμήριον· πλὴν γὰρ ἑνὸς χωρίου, ἐν ᾧ σπουδαῖον ἱστορεῖται γεγονὸς (κεφ. 18 ἡ ἐν Κορωνείᾳ μάχη) καὶ ἐν ᾧ τὸ τοῦ ἱστορικοῦ παρατίθεται ὄνομα (τοῦ Ξενοφῶντος), ἐν οὐκ ὀλίγοις ἄλλοις, πολλοῦ ἀξίοις πάντη ἀποσιωπᾶται. Ἀλλὰ μὴν καὶ τὰ ὑπὸ τοῦ Stedefeldt παρατιθέμενα χωρία (σελ. 40), ἐάν τις ἐπιμελῶς ἐξετάσῃ, ὁμολογήσει, οἶμαι, ὅπερ μικρὸν πρόσθεν εἴρηται ἐν αὐτοῖς συμβαίνειν. Τὰ γὰρ ὑπὸ τοῦ Δούριδος περὶ τοῦ Ἀλκιβιάδου ἱστορούμενα οὐδὲν ἕτερον ἢ ἀφήγησις βραχεῖά ἐστιν ὑπὸ τοῦ Πλουτάρχου ἐν τῇ κυρίᾳ παρεμβεβλημένη, ὅπως τὸ τοῦ Ἀλκιβιάδου ἦθος ἀκριβέστερον περιγραφῇ καὶ τὸ ὅλον ἱστορούμενον ἐναργέστερον παρασταθῇ. Αὐτὸ δὲ τοῦτο περὶ τοῦ Ἱερωνύμου (κεφ. 13) καὶ τῶν λακωνικῶν ἀναγραφῶν (κεφ. 19) λεκτέον. Τούτοις δὲ προσθετέα καὶ τάδε· ἐν κεφ. 10 τὸ τοῦ Θεοπόμπου εὕρηται ὄνομα ὑπὸ τοῦ βιογράφου παρατεθειμένον, τοῦτο μόνον βουλομένου εἰπεῖν καὶ τὸν Θεόπομπόν που εἰρηκέναι, ὅτι ὁ Ἀγησίλαος μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν τότε ζώντων ἐπιφανέστατος. Ἔπειτα δὲ καὶ ἐν κεφ. 34 τὰ τῆς δευτέρας τοῦ Ἐπαμινώνδου στρατείας ἐπὶ τὴν Λακεδαίμονα ἱστορῶν τάδε λέγει «Εὐθύνου δὲ τοῦ Θεσπιέως ὡς Καλλισθένης φησίν, »ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, κλπ.» καὶ αὖθις ἐν τῷ ἑπομένῳ κεφ. (35) ἀναγινώσκομεν «ἔτι δὲ ἐγκείμε»νον καὶ κατασπεύδοντα τὴν δίωξιν Ἀντικράτης Λάκων ὑποστὰς »ἔπαισε δόρατι μέν, ὡς Διοσκουρίδης ἱστόρηκε, Λακεδαιμόνιοι δέ...» Οὐδὲν οὖν ἐν τούτοις, οἶμαι, ἄπορον οὐδ' ἄηθες, ἀλλὰ μᾶλλον τῷ τοῦ βιογράφου συνᾷδον ἔθει.

Ἀλλὰ μὴν καὶ ἡ ἑτέρα τοῦ Stedefeldt γνώμη, ἡ οὐχ ἧσσον τὸν θαυμασμὸν αὐτοῦ διεγείρουσα, οὐ μεγάλης δοκεῖ μοι ἰσχύος, ὅπως τὰ ὑπ' αὐτοῦ λεγόμενα στηρίξῃ. Ἀληθὲς μὲν γάρ, ὅτι μακρὸν διαμείνας ὁ Ἔφορος χρόνον ἐν τῇ τοῦ Ἰσοκράτους σχολῇ καὶ τὴν νέαν τοῦ ἐπιφανοῦς ἐκείνου ῥήτορος καὶ διδασκάλου ῥητορικὴν μυηθεὶς

ausdrücklich anzuführen, wenn er aus ihm eine einzelne in den allgemeinen Bericht eingeschobene Notiz entnommen hat, oder die Angabe als vereinzelt, als unrichtig bezeichnen will.»—Peter: Der historische Werth von Plutarchs Biographie des Lykurg (in den N. Jahrb. f. Phil. 22 B. 1867, S. 63 ff. «Bei Plutarch (wie auch bei anderen) wird gerade die Hauptquelle verhältnissmässig am seltensten citirt, und wenn einmal, dann meist um sie zu widerlegen.

τέχνην οὐ μικρὰν ἐκτήσατο τὴν ἐπιτηδειότητα εἰς τὸ κοσμεῖν καὶ ἐκτείνειν τοὺς λόγους[1]. Οὐδὲ ἀρνήσασθαι βουλόμεθα, ὅτι ὁ Ἔφορος καὶ ὁ φίλος αὐτοῦ καὶ συμμαθητὴς Θεόπομπος μεγάλα ἐπιμελοῦντο καὶ ἐν τοῖς ἱστορικοῖς αὐτῶν συγγράμμασι τῆς νέας χρῆσιν ποιεῖσθαι τέχνης καὶ ἐπιδείκνυσθαι ἐν αὐτῇ, ὡς ἱκανῶς κατάδηλον γίνεται περὶ μὲν τοῦ Ἐφόρου ἐκ τοῦ ὑπὸ τοῦ Stedefeldt παρατεθέντος ἀποσπάσματος, περὶ οὗ ὀλίγον πρόσθεν εἴρηταί μοι, περὶ δὲ τοῦ Θεοπόμπου ἐκ τοῦ ὑπὸ τοῦ Πλουτάρχου ἐν κεφ. 31 φερομένου χωρίου. Ἀλλ' οὐκ ἄξιον ὅμως τοσοῦτον τὸν Πλούταρχον ἄπειρον ὑπολαβεῖν, ὥστε μὴ οἷόν τε εἶναι τὰς ποικίλας ἀφηγήσεις, ἃς πολλαχόθεν ἠρύετο, εἰς ἓν ὅλον πλῆρες καὶ τέλειον συναρμόζειν. Εἰ καὶ αὐτὸς μηδεμιᾶς εἰδικῆς περὶ τὸ ῥητορικῶς τοὺς λόγους κοσμεῖν μαθήσεως ἀπέλαυσεν, ὥσπερ ὁ ῥήτωρ καὶ ἱστοριογράφος Ἔφορος, εἰκὸς ὅμως ἡγεῖσθαι, ὅτι ἐπὶ μακρὸν περὶ τὸ γράφειν ἀσχολούμενος χρόνον, καὶ μάλιστα τοὺς παραλλήλους βίους, συλλογὴν ὄντας καὶ συναρμογὴν πολλῶν καὶ διαφόρων πολλαχόθεν συνηγμένων ἱστορημάτων, πολλὰ ὠφελήθη καὶ ἱκανότητα οὐ μικράν, ὥς γέ μοι δοκεῖ, ἐκτήσατο εἰς τὸ μετὰ τέχνης ταῦτα συνδέειν. Οὐ μὴν ἀλλὰ πῶς ἄν τις τὰ χωρία ἐξηγήσαιτο, ἅπερ ἐν πᾶσι, πολλὰ δὲ καὶ αὐτοῖς ῥήμασι, τοῖς παρὰ Ξενοφῶντι συγγενέσι συνᾴδει; Ἐάν τις τοῦτ' ἀποδέξηται, ὅτι ὁ Ἔφορος τὸν Ξενοφῶντα ἀντέγραψεν, ὡς ὁ Stedefeldt βούλεται, ἀναγκαία καὶ ἡ ἐκδοχή ἐστιν, ὅτι αὐταῖς λέξεσι πολλὰ κατὰ τὴν ἀντιγραφὴν παρὰ τῆς πηγῆς αὐτοῦ παρέλαβεν, ἅπερ ὁ ἡμέτερος μετὰ ταῦτα βιογράφος ἀκριβῶς καὶ πιστῶς ἀντέγραψεν. Ἀλλὰ τοῦτο δ' ὅμως πρῶτον μὲν ἐναντίον τῇ τοῦ Stedefeldt γνώμῃ ἐστίν, ὅτι ὁ Ἔφορος κατ' ἴδιον μετεποίει τρόπον τὰ ἐξ ἑτέρων ἀρυόμενα, ἣν διὰ τοῦ προρρηθέντος ἀποσπάσματος (σελ. 43) ἀποδεῖξαι ἐπειράθη· ἔπειτα δ' οὐκ ἄξιον ἡγοῦμαι περὶ τοιούτου ὑπολαμβάνειν ἱστοριογράφου, οἷος ὁ Ἔφορος, αὐτολεξεὶ τοὺς πρὸ αὐτοῦ ἀντιγράφειν. Καὶ ἀληθὲς μέν, ὅτι οὐκ εὐμενεῖς αἱ τοῦ Τιμαίου κρίσεις περὶ Ἐφόρου εἰσί, καθ' ἅπερ Πολύβιος μαρτυρεῖ[2], καὶ ὅτι Λυσίμαχος μέν τις βιβλίον περὶ

[1] Πρβλ. Πολύβ. Β. 12, 28, 10· ὁ γὰρ Ἔφορος παρ' ὅλην τὴν πραγματείαν θαυμάσιος ὢν καὶ κατὰ τὴν φράσιν καὶ κατὰ τὴν ἐπίνοιαν τῶν λημμάτων, δεινότατός ἐστιν ἐν ταῖς παρεκβάσεσι καὶ ταῖς ἀφ' αὐτοῦ γνωμολογίαις, καὶ συλλήβδην ὅταν που τὸν ἐπιμετροῦντα λόγον διατεθῆται.

[2] Πολύβ. 6, 12, 23: κατὰ τοῦ Ἐφόρου Τίμαιος πλείστην πεποίηται καταδρομήν, κλπ. Πρβλ. καὶ Blass: die Attische Beredsamkeit II 400.

Ἐφόρου κλοπῆς γέγραφε, Πορφύριος δὲ ὁ Νεοπλατωνικὸς ἀναφέρει τὸν Ἔφορον τρισχιλίους στίχους παρὰ Δεινάρχου, Καλλισθένους, Ἀναξεμένους αὐτοῖς ἀντιγεγραφέναι ῥήμασιν[1]· εἰ μέν τοι ταῦτα, ὧν περ ἄλλως τὸ ἀξιόπιστον οὐκ ἄν τις τεκμηριῶσαι, τοῖς ὑπὸ Πολυβίου, Στράβωνος, Διοδώρου, πάνυ ἀξιοπίστων μαρτύρων, περὶ αὐτοῦ ἱστορουμένοις παραβάλοιμεν, οὐκ ἂν διστάσαιμεν ἀποδέξασθαι, ἰδίαν τὸν Ἔφορον ἠκολουθηκέναι ὁδὸν τὰς αὐτοῦ γράφοντα ἱστορίας[2]. Διὰ ταῦτα οὖν πάντα καὶ διότι οὐκ ἴσμεν, τίνος ἕνεκεν ὁ Πλούταρχος ἐμμέσῳ καὶ μᾶλλον μεμακρυσμένῃ ἐχρήσατο πηγῇ, ἐξὸν αὐτῷ εὐκόλως πάνυ τῇ ἀμέσῳ καὶ συνεπῶς ἀσφαλεστέρᾳ χρήσασθαι,

[1] Ἴδε K. O. Müller Geschichte der griechischen Litteratur bis auf das Zeitalter Alexanders ὑπὸ Emil Heitz, τόμ. 2 σελ. 442. Καὶ Marx: Ephori Cumaei fragmenta. Collegit atque illustravit...etc, 1815.

[2] Πολύβ. Β. 12, 28, 10 : ὁ γὰρ Ἔφορος παρ' ὅλην τὴν πραγματείαν θαυμάσιος ὢν καὶ κατὰ τὴν φράσιν καὶ κατὰ τὴν ἐπίνοιαν τῶν λημμάτων, δεινότατός ἐστιν ἐν ταῖς παρεκβάσεσι καὶ ταῖς ἀφ' αὐτοῦ γνωμολογίαις, καὶ συλλήβδην ὅταν που τὸν ἐπιμετροῦντα λόγον διατεθῆται.—Στράβων 10, 465: ὁ ἐσπουδασμένως οὕτως ἐπαινέσας αὐτὸν Πολύβιος καὶ φήσας περὶ τῶν Ἑλληνικῶν καλῶς μὲν Εὔδοξον, κάλλιστα δὲ Ἔφορον ἐξηγεῖσθαι περὶ κτίσεων, συγγενειῶν, μεταναστάσεων ἀρχηγετῶν· καὶ 9, 464: Ἔφορος δ' ᾧ τὸ πλεῖστον προσχρώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιμέλειαν, καθάπερ καὶ Πολύβιος μαρτυρῶν τυγχάνει, ἀνὴρ ἀξιόλογος..... —Διόδ. 5, 1 : Ἔφορος δὲ τὰς κοινὰς πράξεις ἀναγράφων οὐ μόνον κατὰ τὴν λέξιν ἀλλὰ καὶ κατὰ τὴν οἰκονομίαν ἐπιτέτευχε· τῶν γὰρ βίβλων ἑκάστην πεποίηκε περιέχειν κατὰ γένος τὰς πράξεις. Πρὸς τούτοις παραβλητέα καὶ τάδε : Niebuhr (Vorlesungen über alte Gesch. IV, 207 ff; V, 409). «Er (Ephorus) war ein höchst wahrhafter Mann und hatte historisches Talent zur Kritik und Untersuchung; er ist der Erste, der eigentlich historische Kritik in einem grossen Umfange angewendet hat, und bei dem die Geschichte als wissenschaftliche Disciplin erscheint.» — Fr. Creuzer: Die historische Kunst der Griechen in ihrer Entstehung und Fortbildung 1845 2. Ἔκδ. ὑπὸ Kayser) «Ephoros war nicht frei von Jrrthümern, allein eine solche Beurtheilung, wie sie der gehässige Timäos ihm angedeihen liess, verdient er auf keinen Fall, noch weniger den Vorwurf des Plagiats in dem Maasse, wie ihn Porphyrios gegen ihn ausspricht. Ohne Zweifel hatte Ephoros die Werke seiner Vorgänger benutzt, dass er sie jedoch nicht geradezu und ohne eigene Kritik ausgeschrieben, ergibt sich schon daraus, dass er viele Irrthümer in jenen Werken verbesserte auch das Sludium der besten Quellen, wohin namentlich die Inschriften gehören (Strabo X, p. 463, p. 139 sq. Tzsch.), sich angelegen sein liess. Ebenso ist die Selbstständigkeit. etc.„

ὅπερ καὶ μᾶλλον πρὸς αὐτοῦ ἦν, ἀεὶ τὰ ἀκριβῆ καὶ τὰ ἀληθῆ ἱστορεῖν βουλομένου, ὅπερ καὶ ὁ Stedefeldt αὐτὸς λέγει[1], οὐ τοῖς ὑπ' αὐτοῦ λεγομένοις συμφωνῆσαι δυνάμεθα. Ἡμεῖς μέντοι οὐ τὰ ἀφανῆ καὶ ἀβέβαια διώκειν βουλόμενοι καὶ αὐτὸ τοῦτο ἐν τῷ σκότει φῶς ζητεῖν, ἀλλ' ἐπὶ τῶν ἐμφανῶν καὶ βεβαίων μένοντες καὶ αὐτοῖς τοῖς εὐτυχῶς σωζομένοις ἔργοις ἐρειδόμενοι, κατάδηλον τό γ' ἐς δύναμιν καταστῆσαι πειρασόμεθα, τίσιν ὁ Πλούταρχος ἐν τῷ προκειμένῳ βίῳ πηγαῖς ἐχρήσατο. Πρὶν τούτου δ' ὅμως ἀναγκαῖον ἡγούμεθα βραχέως περί τινων τῇ ἡμετέρᾳ ἀναφερομένων ἐρεύνῃ εἰπεῖν.

Καὶ ἄλλων μὲν ἁπτόμεθα συγγραφέων κατὰ τὴν ἡμετέραν ἐξέτασιν, μάλιστα δὲ τοῦ Διοδώρου καὶ τοῦ Παυσανίου, ἅτε τῆς λύσεως πολλῶν ζητημάτων ἐξ ἀφηγήσεων αὐτῶν ἐξηρτημένης, αἵπερ συγγενεῖς ταῖς τοῦ Πλουτάρχου εἰσί. Καὶ ὁ μὲν πρῶτος, ὃς τὰς τοῦ Διοδώρου ἐξήτασε πηγάς, ἦν ὁ Heyne[2]. Οὗτος ὅμως ἀντὶ τοῦ διαφωτίσαι ἐσκότισε μᾶλλον τὸ ζήτημα, πολλὰς παραδεξάμενος καὶ διαφόρους πηγάς. Εἰς γὰρ τοὺς συγγραφεῖς καὶ ποιητὰς ἀποβλέπων, οὓς εἴωθεν ὁ Διόδωρος πολλάκις ἐν τέλει ἢ καὶ ἐν ἀρχῇ πολλῶν τοῦ συγγράμματος αὐτοῦ κεφαλαίων διαρρήδην ὀνομάζειν, ἔστιν ὅτε καὶ τὰ αὐτῶν ἔργα προστιθείς, ἐκ τούτων ὑπέλαβε τὸν Διόδωρον ἠρύσθαι, οὐδαμῶς λογιζόμενος, ὅτι ἁπλῶς οὗτοι ὑπὸ τοῦ ἱστορικοῦ ἐν τῇ ἀφηγήσει παρενειρόμενοι οὐδὲν τὸ κοινὸν πρὸς τὴν ὅλην ἔχουσι διήγησιν. Οὕτως οὖν πηγαὶ τοῦ Διοδώρου κατὰ Heyne εἰσὶν Ἡρόδοτος (11, 37), Θουκυδίδης (12, 37), Ξενοφῶν καὶ Θεόπομπος (13, 43), Ἀπολλόδωρος (13,103) καὶ ἄλλοι.

Χρόνῳ δὲ μακρῷ μετὰ ταῦτα εἰς ὁδὸν ἤγαγεν εὐθυτέραν τὸ ζήτημα Gauer[3], καὶ τῇ ἀληθείᾳ μᾶλλον ἤγγισεν. Πάντας μὲν γὰρ οὗτος, ὀρθῶς ποιῶν, ἀπέκλεισε τοὺς συγγραφεῖς, οὓς πηγὰς ὁ Heyne τοῦ Διοδώρου ὑπελάμβανε, τοῦτον δὲ παραβαλὼν τὸν ἱστορικὸν τοῖς τοῦ Ἐφόρου σωζομένοις ἀποσπάσμασιν, ἀπεδέξατο διὰ τὴν

[1] Σελ. 5. Neque tamen propterea de bona ejus fide dubitandum videtur: voluit certe veritaten proferre, neque quidquam eum,...

[2] C. G. Heyne: de fontibus et auctoribus historiarum Diodori et de ejus auctorite ex auctorum, quos sequitur fide aestimanda: comment: soc. Gotting. ad a. 1782 vol. V, p. 89—130, ad a. 1784. 1785 VII, p. 75—106 107—120.

[3] Gauer: de fontibus ad Agesilai historiam pertinentibus Vrat. 1847.

ὁμοιότητα, τὴν ἐν τούτοις ὑπάρχουσαν, ὅτι πρὸς συγγραφὴν τῆς Ἑλληνικῆς ἱστορίας ἀπὸ βιβλ. 11—16 τῷ Ἐφόρῳ ἐχρήσατο μόνῳ ὁ Διόδωρος[1].

Ἀλλ' ἔτι λαμπρότερον τῷ πράγματι ἐπέρριψε τὸ φῶς καὶ πολλὰ τοὺς πρὸ αὐτοῦ ὑπερεβάλετο Volquardsen[2], τὰς περὶ τῶν τοῦ Διοδώρου πηγῶν ἐκτείνας ἐρεύνας εἰς κύκλον κατὰ πολλὰ εὐρύτερον. Ἐπεὶ γὰρ πρῶτον τὸ τῆς γνώμης τοῦ Heyne ἄτοπον ἱκανῶς σαφῶς κατέδειξεν, ἀποφηνάμενος, ὅτι οἱ ὑπὸ τοῦ Διοδώρου φερόμενοι συγγραφεῖς οὐδὲν ἕτερον ἢ ἐπιτομὴ πίνακος γραμματικοῦ τινός εἰσι, καὶ τοιοῦτον τὰ τοῦ Ἀπολλοδώρου χρονικὰ παρεδέξατο (σελ. 9 καὶ 12), προέβη εἰς τὸ ἐξετάσαι, εἴ τι ὁ Διόδωρος παρὰ τῶν σωζομένων ἔργων τῶν ἀρχαιοτέρων ἱστορικῶν Ἡροδότου, Θουκυδίδου, Ξενοφῶντος παρείληφε. Μετὰ ἔρευναν δ' ἐπιμελῆ καὶ παραβολὴν ἀκριβῆ οὐ τῶν τοῦ Διοδώρου μόνον χωρίων (βιβλ. 11—16), ἀλλὰ καὶ ἄλλων ταὐτὰ τὸν αὐτὸν ἱστορούντων τρόπον, ὡς Ἰουστίνου, Κορνηλίου Νέπωτος, πρὸς τὰ παράλληλα τοῦ Ἡροδότου, τοῦ Θουκυδίδου, τοῦ Ξενοφῶντος εἰς τὸ συμπέρασμα ἀφίκετο, ὅτι πλὴν πάνυ μικρῶν καὶ ἀφανῶν χωρίων πάντα τὰ λοιπὰ τοσαύτας παρέχει ἀνομοιότητας καὶ διαφορὰς (ὀγδοήκοντα ἐκ τοῦ Ἡροδότου, ὑπὲρ τὰς ἑκατὸν ἐκ τοῦ Θουκυδίδου, περὶ τὰς τετρακοσίας ἐκ τοῦ Ξενοφῶντος σελ. 29) κατά τε τὸν τοῦ ἱστορεῖν τρόπον καὶ τὴν τῶν ἱστορουμένων διάταξιν, ὥστε οὐδὲ τὸ παράπαν τις ἀποφήνασθαι ἔχει, τὸν Διόδωρον τούτους συμβουλεύσασθαι, τὴν Ἑλληνικὴν αὐτοῦ ἱστορίαν γράφοντα (σελ. 29—47). Εἰς ἐξέτασιν δ' ὑποβαλὼν ἔπειτα ἅμα μὲν τὸ τοῦ Διοδώρου ὕφος, ὅπερ ἐν τοῖς βιβλ. 11-16 οὐ μικρὸν ῥητορικὸν φέρει χαρακτῆρα καὶ τὴν τοῦ Ἰσοκράτους ὑπομιμνήσκει σχολὴν[3], ἐν ἀντιθέσει τῷ ἐν τοῖς πρώτοις βιβλίοις, ἅπερ πιθανῶς τῷ Πολυβίῳ, καὶ τοῖς 18—20, ἅπερ μέγα μέρος τῷ ἐκ Καρδίας

[1] Σελ. 46, § 3, Solum Ephorum Diodoro inde a libro XI ad XVI rerum graecarum auctorem fuisse demonstratur.

[2] Chr. Aug. Volquardsen : Untrersuchungen über die Quellen der Griechischen und Sicilischen Geschichten bei Diodor, Buch XI bis XVI, Kiel 1868.

[3] Σελ. 50—51 : Διόδ. 11, 11.—Ἰσοκρ. Πανηγ. 95, αὐτόθι.— Πανηγ. 92 καὶ Ἀρχίδ. 9, Διόδ. 14, 23.—Πανηγ. 174, Διόδ. 15, 23.— Πανηγ. 125, Διόδ. 15 23—Πανηγ. 125.

Ἱερωνύμῳ ἀποδίδοται, καὶ τῷ 17, τῷ παρὰ τοῦ Κλειτάρχου παρειλημμένῳ, ἅμα δὲ τὰ μέρη, ἐν οἷς ῥητῶς φέρεται ὁ Ἔφορος[1]· συγκρίνας δὲ τελευταῖον καὶ τὰ τοῦ Ἐφόρου ἀποσπάσματα πρὸς τὸν Διόδωρον τοσαύτην ἐν πᾶσι τούτοις τὴν ὁμοιότητα εὗρεν, ὥστε ὡς ἀναμφίλεκτον παρεδέξατο, ὅτι ἐν τοῖς ἄνω ῥηθεῖσι βιβλίοις τῆς Ἑλληνικῆς ἱστορίας τὸν Ἔφορον μόνον πηγὴν εἶχεν ὁ Διόδωρος, ἀποκλειομένου καὶ τοῦ Θεοπόμπου, οὗ τινος τὰ ἀποσπάσματα οὐδὲ τὸ παράπαν τοῖς παρὰ τῷ Διοδώρῳ φερομένοις συνᾴδει[2].

Ἐλάττονος τοῦ Διοδώρου τῇ ἡμετέρᾳ ἐξετάσει σπουδαιότητος ὁ περιηγητής ἐστι Παυσανίας, ὃς πρὸς τοῖς ἄλλοις τῷ Θεοπόμπῳ καὶ τῷ Ἐφόρῳ ἐχρήσατο, περὶ ὧν Hertzberg[3] καὶ König[4] παραβλητέοι.

Ἐν οὐκ ὀλίγοις τοῦ τοῦ Ἀγησιλάου βίου χωρίοις εὕρηνται ἀφηγήσεις ἐκ τοῦ τοῦ Ξενοφῶντος συγγράμματος, τοῦ ἐγκώμιον εἰς Ἀγησίλαον ἐπιγραφομένου. Καὶ ὡς ἀμφίβολον μὲν τὸ γνήσιον τούτου ὑπὸ τῶν νῦν κηρύττεται φιλολόγων, οὐ τοῦ Ξενοφῶντος αὐτὸ παραδεχομένων, ἀλλ' ἑτέρου ἀγνώστου συγγραφέως, ἐν νεωτέροις βιώσαντος χρόνοις. Ἐπειδὴ δ' ὅμως ἐν τοῖς τοῦ Πλουτάρχου ὡς γνήσιον τοῦ Ξενοφῶντος ἴσχυε καὶ τοιούτῳ ὁ ἡμέτερος ἐχρῆτο βιογράφος[5], ὁ δὲ Κικέρων οὐ μόνον τὸ γνήσιον αὐτοῦ ἀνεγνώριζεν, ἀλλὰ καὶ μείζονα ἐδίδου αὐτῷ ἀξίαν ἢ ἁπάσαις ταῖς εἰκόσι καὶ τοῖς ἀνδράσι[6], μίαν τῶν κυρίων τοῦ Πλουτάρχου παραδεχόμεθα αὐτὸ πηγῶν, καί τοι καὶ ἐνταῦθα νεωτερίσαι ὁ Stedefeldt βούλεται, ἀποφαινόμενος ὅτι μᾶλλον ὁ Ψευδο-Ξενοφῶν ἐκ τῶν πηγῶν, ἠρύσατο, ἐξ ὧν καὶ ὁ Πλούταρχος, ἢ ἐκεῖνος πηγὴ ἦν τούτου[7].

[1] Σελ. 52: Διόδ. 12, 38—41. 13, 41. 14, 11. 14, 22. Οὐ βεβαίως 15, 60.

[2] Σελ. 22: Fasst man mit diesem Rssultat die so häufig und stark hervortretende Uebereinstimmung mit Ephoros und die feststehende Methode Diodors zusammen, so ist wohl erlaubt, mit der Behauptung zu schliessen, dass alle Griechiachen Geschischten Diodors aus Ephoros entnommen sind.

[3] Hertzberg: Das Leben des Königs Agesilaus II von Sparta, Halle 1856

[4] Chr. König: De Pausaniae fide et auctoritate, Berol. 1832.

[5] Πρβ. Nipperdey: Corn. Nep. 2. Aufl., Einleitung XXVII.

[6] Cic. Epo. ad div. V. 12 unus Xenophontis libellus in eo rege laudando facile omnes imagines omnium statuasque superavit.

[7] Σελ. 42, σημ. 1. «Xenophontis Agesilaum a Plutarcho non adhibitum... Cum enim Plutarchus non solum meliorem ejus rei exhibeat imaginem, sed

Ταῦτα πρὸς γενικὴν τῆς ἡμετέρας ἐργασίας προτάξαντες διασάφησιν εἰς τὴν καθ' ἕκαστα μεταβαίνομεν τοῦ βίου ἔρευναν. Ἐπεὶ δ' ἡγούμεθα, ὅτι ἀκριβῶς ἄν τις τὰς διαφόρους διίδοι πηγὰς καὶ ἀσφαλῶς περὶ αὐτῶν κρίνοι, ἂν σαφῶς ἀπ' ἀλλήλων ἐκεῖνα διακριθῇ, ἐν οἷς δυνατὴ καὶ ῥᾳδία ἡ τῶν πηγῶν εὕρεσις, καὶ ἐκεῖνα, ὧν ἢ ἀμφίβολον τὸ ἀποτέλεσμα ἢ πάντη ἀβέβαιόν ἐστιν, εἰς τέσσαρας διαιροῦμεν πάντα τὰ κεφ. τάξεις. Καὶ ἐν μὲν τῇ πρώτῃ τούτων ταῦτα κατατάσσομεν, ἅ περ ἢ ὅλα ἢ τὸ μέγιστον μέρος τῷ Ξενοφῶντι ἀναφέρεται· ἐκεῖνα δ' ἐν τῇ δευτέρᾳ, ἅπερ ὁ βιογράφος τὸ μὲν παρὰ τοῦ Ξενοφῶντος, τὸ δὲ παρὰ τοῦ Ἐφόρου ἢ παρ' ἄλλων παρείληφεν· ἐν δὲ τῇ τρίτῃ τὰ κεφ., ὧν αἱ πηγαὶ ἢ παρὰ διαφόρων ἀπορρέουσιν ἢ ἄγνωστοί εἰσι, προστιθέντες τούτοις ὡς τετάρτην τὰ ἐν τέλει πέντε κεφ., ἐν οἷς ἡ εἰς Αἴγυπτον τοῦ Ἀγησιλάου στρατεία ἱστορεῖται.

I

Κεφ. 7. Τοὺς τοῦ Λυσάνδρου πρὸς τὸν Ἀγησίλαον ἐν Ἐφέσῳ ἱστορῶν ὁ Πλούταρχος τρόπους, τοσοῦτόν φησιν αὐτοὺς τραχεῖς καὶ ὀγκηροὺς εἶναι, ὥστε οὐ μόνον αὐτοῦ τὴν μῆνιν, ἀλλὰ καὶ τῶν τριάκοντα Σπαρτιατῶν τὸν φθόνον προκαλέσαι, οἳ χαλεπῶς ἐπὶ τούτοις φέροντες ὑπηρέται Λυσάνδρου μᾶλλον εἶναι ἔλεγον ἢ σύμβουλοι βασιλέως. Ἐξ οὗ ὁ Ἀγησίλαος τὸν Λύσανδρον ἐφ' Ἑλλήσποντον ἀποπέμψαι ἠναγκάσθη. Τὴν παρὰ τῆς Ἑλλ. τοῦ Ξενοφ. ἱστορ. παράληψιν τῶν πλείστων καὶ κυρίων τῶν ἐν τῷ προκειμένῳ κεφ. ἱστορουμένων κατάδηλον ἡ ὁμοιότης ποιεῖ, ἣ παρ' ἀμφοτέροις ὑπάρχει, ὡς ἄν τις ἐκ τῆς ἐπομένης παραθέσεως ἴδοι.

etiam servet, quas Pseudo-Xenophon Atticis permutat formas Dorikas, facilius Pseudo-Xenophontem e Plutarchi fontibus, quam Plutarchum e Pseudo-Xenophonte hausisse crediderim.

Πλούτ. 7.

Ἐπεὶ δὲ ἧκεν εἰς Ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσανδρον, ὄχλου φοιτῶντος ἐπὶ τὰς θύρας ἑκάστοτε καὶ πάντων παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ὄντα διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων, καὶ δυνάμενον καὶ πράττοντα πάντα τὸν Λύσανδρον..,.Ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον ὑπηρέται Λυσάνδρου μᾶλλον ἢ σύμβουλοι βασιλέως ὄντες· ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος.....Οὕτως (οὖν) ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ, καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις ἐῶν χαίρειν καὶ παραμελῶν ἕτερα πρὸ ἐκείνων ἔπραττεν· ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας ἀπράκτους ἀπέπεμπε.... Γενομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ' ἔλεγεν, ὡς δι' αὐτὸν ἀτιμάζοιντο, καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους.

Ξενοφ. Ἑλλ. ἱστ. 3, 4, 7.

Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἔχων ὁ Ἀγησίλαος διέτριβεν ἐν τῇ Ἐφέσῳ,..... ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον, προσέκειντο αὐτῷ ἀξιοῦντες διαπράττεσθαι αὐτὸν παρ' Ἀγησιλάου ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει, ὥστε ὁ μὲν Ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς. Ὅτι μὲν οὖν ἔμηνε καὶ τὸν Ἀγησίλαον ταῦτα ἐδήλωσεν ὕστερον· οἵ γε μὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Ἀγησίλαον, ὡς παράνομα ποιοίη Λύσανδρος τῆς βασιλείας ὀγκηρότερον διάγων. Ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμπράττοντά τι ἡττωμένους ἀπέπεμπεν. Ὡς δ' ἀεὶ τὰ ἐναντία, ὧν ἐβούλετο ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον· καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη.

Κεφ. 9—10. Ταῦτὰ δ' ἄν τις καὶ περὶ τῶν κεφ. τούτων εἴποι, ἅπερ οὐδὲν ἕτερόν ἐστιν, ἢ βραχεῖα τῶν παρὰ Ξενοφ. (Ἑλλ. ἱστ. 3, 4, 5 καὶ ἑξῆς) διὰ μακρῶν ἀφηγουμένων περίληψις. Φέρεται δὲ ἐν αὐτοῖς πρῶτον μὲν ἡ τῶν σπονδῶν τῶν ἐν Ἐφέσῳ ὑπὸ τοῦ Ἀγησιλάου καὶ τοῦ Σατράπου Τισσαφέρνους πεποιημένων διάλυσις, εἶτα δὲ διάφοροι τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων μάχαι, ἐν αἷς πολλὰς ἤραντο οἱ Ἕλληνες νίκας. Ἐξ ὧν οὐ μόνον τὴν τοῦ βασιλέως χώραν ἦγον καὶ ἔφερον, ἀλλὰ καὶ δίκην ἐπεῖδον τὸν Τισσαφέρνην διδόντα·

ἔπεμψε γὰρ ὁ βασιλεὺς εἰς Ἔφεσον τὸν Τιθραύστην, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τῷ δὲ Ἀγησιλάῳ εἰρήνην προὔβαλεν.

Πλούτ. 9.

Ἐπεὶ δὲ Τισσαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον ἐποιήσατο σπονδάς, ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνίδας ἀφήσοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο.

Προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας.

Εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισσαφέρνους ἐπιορκίαν ἐπέδειξεν ὡς ἐπὶ Καρίαν προάξων. Ἐκεῖ δὲ τὴν δύναμιν τοῦ βαρβάρου συναθροίσαντος ἄρας εἰς Φρυγίαν ἐνέβαλε. Καὶ πόλεις μὲν εἷλε συχνὰς καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν,.....

Ξεν. Ἑλλ. ἱστ. 3, 4, 5.

Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφ. πέμψας ἤρετο αὐτόν, τίνος δεόμενος ἥκοι. Ὁ δ' εἶπεν, ὅτι αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. Πρὸς ταῦτ' εἶπεν ὁ Τισ.: Εἰ τοίνυν θέλεις σπείσασθαι, ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξαμενον ἀποπλεῖν, εἰ βούλοιο...... Ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφ. μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτόν.... ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην,..... (11). Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφ. ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως προεῖπεν Ἀγησιλάῳ πόλεμον,... οἱ μὲν ἄλλοι σύμμαχοι... μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο,... Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισ.... (3, 5, 1)... ἀλλὰ μᾶλλον ἐλπίδας μεγάλας αἱρήσειν βασιλέα...... (4, 1, 2).... ὁ δὲ Ἀγησίλ. ἐπεὶ ἤκουσε χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος καὶ οἵων νικῶν καὶ οἵων ἐλπίδων ἀπεστερεῖτο... (Καὶ Ξενοφ. Ἀγησίλ. 1, 36: ἐπινοῶν καὶ ἐλπίζων καταλύσειν τὴν ἐπὶ τὴν Ἑλλάδα πρότερον στρατεύσασαν ἀρχήν)· 3, 4, 11. Ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν, ταῖς δὲ πόλεσιν, εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν.... Ὁ δὲ Τισ... τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε (εἰς Καρίαν), τὸ δὲ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιῆγε... Ὁ δὲ Ἀγ. ἀντὶ

Τοῖς δὲ ἱππεῦσιν ἐλαττωθεὶς καὶ τῶν ἱερῶν ἀλόβων φανέντων ἀναχωρήσας εἰς Ἔφεσον ἱππικὸν συνῆγε, τοῖς εὐπόροις προειπών, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα. Πολλοὶ δ' ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πολεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ δειλῶν ὁπλιτῶν.

τοῦ ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο καὶ ἐμβαλὼν ἀπροσδοκήτοις παμπληθῆ χρήματα ἐλάμβανε.

3, 4, 15. Γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγ. τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. Τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ θάλατταν. Γιγνώσκων δέ, ὅτι, εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι.... Καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προειπὼν δέ, ὅστις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ταῦτα συντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη.

Πλούτ. 10.

Καιροῦ δὲ ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν προεῖπεν εἰς Λυδίαν ἀπάξειν, οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισσαφέρνην· ἀλλ' ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε, διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ καὶ νῦν γοῦν αὐτὸν ἅψεσθαι τῆς Καρίας νομίζων οὔσης δυσίππου πολὺ τῷ ἱππικῷ λειπόμενον. Ἐπεὶ δέ, ὡς προεῖπεν, ὁ Ἀγησίλ. ἧκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο......-.. Ἐννοήσας οὖν ὁ Ἀγησίλ., ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζόν, αὐτῷ δὲ τῆς δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι..... Γενομένης δὲ τροπῆς τῶν βαρβάρων ἐπακολουθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ στρατόπεδον καὶ

Ξεν. Ἑλλ. ἱστ. 3, 4, 20.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ.....προεῖπεν αὐτοῖς, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν οὕτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. Ὁ μέν τοι Τισ. ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό τε πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. Ὁ δὲ Ἀγησίλ. οὐκ ἐψεύσατο, ἀλλ' ὥσπερ προεῖπεν εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε..... (23). Ἔνθα δὴ ὁ Ἀγησίλ. γιγνώσκων, ὅτι μὲν τοῖς πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν

πολλοὺς ἀνεῖλον. Ἐκ ταύτης τῆς μάχης οὐ μόνον ὑπῆρξεν αὐτοῖς ἄγειν καὶ φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν Τισσαφέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἐπαχθέστατον. Ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς Τιθραύστην ἐπ' αὐτόν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τὸν δὲ Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε καὶ χρήματα διδοὺς αὐτῷ προσέπεμψεν. Ὁ δὲ τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον ἢ πλουτῶν αὐτός· καὶ ἄλλως γε μέν τοι νομίζειν Ἕλληνας καλὸν οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. Ὅμως δὲ τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο Τισσαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα, λαβὼν ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα. Καὶ καθ' ὁδὸν ὢν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ.... Τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον ἁμαρτεῖν ἔδοξεν, ὅτι πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδ., ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο... (24) Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δ' ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφευγον. Οἱ δ' Ἕλληνες, ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν.... (25) Γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφ. αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὐτοῦ, Τιθραύστην καταπέμψας ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. Τοῦτο δὲ ποιήσας ὁ Τιθρ. πέμπει πρὸς τὸν Ἀγ. πρέσβεις λέγοντας, Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν ἔχει τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρχαῖον δεσμὸν αὐτῷ ἀποφέρειν. Ἀποκριναμένου δὲ τοῦ Ἀγ., ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν. Σὺ δ' ἀλλά, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, εἰς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. Ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγ., ἐκεῖσε πορεύωμαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. Ἐκείνῳ μὲν δὴ ὁ Τιθρ. δίδωσι τριάκοντα τάλαντα· ὁ δὲ λαβὼν ἧει ἐπὶ τὴν Φαρναβάζου Φρυγίαν.

Ξεν. Ἀγησ.: Διδόντος δ' αὐτῷ πάμπολλα δῶρα Τιθραύστου, εἰ ἀπέλθοι ἐκ τῆς χώρας, ἀπεκρίνατο ὁ Ἀγ., Ὦ Τιθραύστα, νομίζεται παρ' ἡμῖν τῷ ἄρχοντι κάλλιον εἶναι τὴν στρατιὰν ἢ ἑαυτὸν πλουτίζειν, καὶ παρὰ τῶν πολεμίων λάφυρα μᾶλλον πειρᾶσθαι ἢ δῶρα λαμβάνειν.

Ἑλλ. ἱστ. 3, 4, 27. Ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Κύμης ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν ἄρχειν καὶ τοῦ

ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον ὅν τινα αὐτὸς βούλοιτο ... (29) Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρχον κατέστησε, φιλότιμον μὲν καὶ ἐρρωμένον τὴν ψυχήν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ.

Ἱκανῶς, οἶμαι, τὸ παραπλήσιον τῆς παρὰ τῷ ἡμετέρῳ βιογράφῳ καὶ τῷ Ξενοφῶντι ἀφηγήσεως τῶν ἐν τοῖς προκειμένοις κεφ. καταδείκνυσιν ἐκεῖνον παρὰ τούτου ταῦτα ἀντιγράψαντα. Οὐ μέν τοι ταὐτὸ δοκεῖ μοι καὶ περὶ τῶνδε λεκτέον εἶναι. Πρῶτον μὲν γὰρ ὁ σκοπός, δι' ὃν τοὺς Πέρσας αἰχμαλώτους ὁ Ἀγησ. γυμνοὺς πωλεῖν διέταξεν, (ἵνα δῆλον ὅτι ῥώμην τινὰ τοῖς ἑαυτοῦ στρατιώταις ἐμβάλῃ διὰ τοῦ τῶν πολεμίων καταφρονεῖν, Ἑλλ. ἱστ. 3, 14, 19) οὐ παρὰ Πλουτ. φαίνεται, ἁπλῶς λέγοντι τῆς μὲν τῶν αἰχμαλώτων ἐσθῆτος, οὓς οἱ λαφυροπῶλαι ἀποδύοντες κατὰ διαταγὴν ἐπίπρασκον τοῦ Ἀγησ., ὠνητὰς πολλοὺς εἶναι, τῶν δὲ σωμάτων καταγελᾶν ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων.

Πλούτ. 9.

Ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατραφίας γυμνουμένων κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος. «Οὗτοι μὲν» εἶπεν «οἷς μάχεσθε, ταῦτα δὲ ὑπὲρ ὧν μάχεσθει».

Ξενοφ. Ἑλλ, ἱστ. 3, 4, 19.

Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. Ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.

Ἔπειτα δὲ διάφορα τὰ τῆς περὶ τὸν Πακτωλὸν γενομένης μάχης παρ' ἑκατέρῳ ἐστί. Ἱστοροῦντος μὲν γὰρ τοῦ Πλουτ. ὅτι, ὅτε σὺν τῷ στρατῷ ὁ Ἀγησ. εἰς τὸ περὶ Σάρδεις πεδίον ἦλθε, κατὰ σπουδὴν βοηθεῖν ὁ Τισσαφ. ἠναγκάσθη, «Ἐπεὶ δὲ (κεφ. 10), ὡς προεῖπεν, ὁ »Ἀγησίλ. ἧκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπου»δὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισσαφέρνης. Καὶ τῇ ἵππῳ διεξελαύνων

»διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων», οὗ τῆς μάχης φησὶν ὁ Ξενοφῶν τὸν Τισσαφέρνην, ἐν Σάρδεσιν ὄντα, μετασχεῖν «(3, 4, 21—22). Καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευό»μενος. . . τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. Καὶ τῷ μὲν »ἄρχοντι τῶν σκευοφόρων *εἶπεν ὁ ἡγεμὼν* διαβάντι τὸν Πακτωλὸν »ποταμὸν στρατοπεδεύεσθαι . . . » καὶ 25 «Ὅτε δ' αὕτη ἡ μάχη »ἐγένετο, *Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν*, ὥστε ᾐτιῶντο οἱ »Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ». Ταύτης οὖν τῆς διαφορᾶς ἕνεκ' ἀποδέξασθαι ἡγοῦμαι δεῖν, ἐν τούτοις οὐ τῇ αὐτῇ τὸν Πλουτ. ἠκολουθηκέναι πηγῇ, ἥν περ ἐν πᾶσι τοῖς ἄλλοις πρὸ αὐτοῦ εἶχεν, ἀλλ' ἑτέρᾳ, περὶ ἧς οὐ ῥᾴδιον μὲν ὡρισμένως ἀποφήνασθαι, εἰκάσειε μέντοι ἄν τις, εἰ ταῦτα τῷ Διοδώρῳ παραβάλοι. Τάδε γὰρ παρ' αὐτῷ φέρεται (14,80). «Οἱ δὲ περὶ τὸν Ἀγησίλαον μέχρι μέν τινος ἐπιδιώ»ξαντες ἀνεῖλον μὲν ὑπὲρ τοὺς ἑξακισχιλίους. . . . *Ἀπὸ δὲ τῆς μάχης Τισσαφέρνης μὲν εἰς Σάρδεις ἀνεχώρησε*, καταπεπληγμένος τὴν »τόλμην τῶν Λακεδαιμονίων, . . .» Τοῦ αὐτοῦ δὲ καὶ τὸν αὐτὸν τρόπον μνημονεύει καὶ ὁ Παυσαν. 3, 9, 6 ἱστορῶν ὡς ἕπεται «Γενομέ»νης δὲ πρὸς Τισσαφέρνην σατράπην τῶν περὶ Ἰωνίας μάχης ἐν Ἕρ»μου πεδίῳ, τήν τε ἵππον τῶν Περσῶν ἐνίκησεν ὁ Ἀγησ. καὶ τὸ »πεζὸν τότε πλεῖστον ἀθροισθὲν μετά γε τὸν Ξέρξου καὶ πρότερον ἔτι »ἐπὶ Σκύθας Δαρείου καὶ ἐπὶ Ἀθήνας στρατόν.» Πρὸς ταύτην τοίνυν τὴν παρά τε Πλουτ. καὶ Διοδώρῳ σύμφωνον ἀποβλέποντες ἀφήγησιν, καὶ τὰ ἐν τοῖς ἔμπροσθεν περὶ τῶν τοῦ Διοδώρου πηγῶν εἰρημένα ἐνθυμούμενοι οὐ πόρρω τῆς ἀληθείας εἶναι δόξομεν, ἀποδεχόμενοι ταῦτα παρὰ τοῦ Ἐφόρου τὸν βιογράφον παρειληφέναι [1]. Οὐκ εἰκὸς δὲ τοῦτο τῇ ἐκδοχῇ ταύτῃ ἀντιταχθῆναι, ὅτι περὶ τὰ τέλη ὁ Πλούτ. τοῦ κεφ. τὸν Θεόπομπον παρατίθεται· πᾶς γὰρ ὁ ἐπιμελῶς τὰ συμφραζόμενα παρατηρῶν καὶ τῇ τῶν λέξεων συναρμογῇ τὸν νοῦν προσέχων, οὐ χαλεπῶς διαγιγνώσκει τὰ περὶ τοῦ Θεοπόμπου λεγόμενα μόνον τοῖς ῥήμασι «καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν τότε ζώντων ἐπιφανέστατος», ἀναφερόμενα, ὡς ὀρθῶς ὁ Stedefeldt (σελ. 42) παρατηρεῖ.

[1] Ἐν ταύτῃ καὶ οὐκ ἐν τῇ ἑπομένῃ κατατέτακται τὸ προκείμ. κεφ. τάξει, ἅτε παρὰ Ξενοφ. τοῦ πλείστου καὶ κυριωτάτου τούτου μέρους τὴν ἀρχὴν καὶ τὴν πηγὴν ἔχοντος.

Παραπλησία καὶ παρὰ Φροντίνῳ (στρατηγήματα 1, 18) εὕρηται πώλησις αἰχμαλώτων, ἣν ὁ τῶν Συρακουσῶν τύραννος Γέλων διέταξε, τοὺς Καρχηδονίους ἐν Ἱμέρᾳ νικήσας. Gelo Syracusarum tyrannus, bello adversus Poenos suscepto, cum multos cepisset, infirmissimum quemque praecipue ex auciliaribus, qui nigerrimi erant, nudatum in conspectum suorum produxit, et persuaderet contemmendos»[1]. Τούτοις δὲ καὶ τὰ Πολυαίνου στρατηγήματα 2,16 παραβλητέα.

Τῇ τοῦ Τιθραύστου πεισθεὶς ὁ Ἀγησίλ. προτροπῇ καὶ εἰς τὴν τοῦ Φαρναβάζου χώραν, τὴν Φρυγίαν, πορευθεὶς ἦγεν αὐτὴν καὶ ἔφερε, μετὰ τοῦ τῶν Παφλαγόνων ἡγεμόνος Κότυος φιλίαν καὶ πίστιν συνδέσας, τοῦ Φαρναβάζου οὐχ ὑπομένοντος, ἀλλ' ἄλλοτε ἀλλαχόσε τῆς χώρας ὑποφεύγοντος. Ἐπεὶ δὲ καὶ τὸ στροτόπεδον αὐτοῦ τέλος ὑπὸ τοῦ Σπιθριδάτου καὶ τοῦ Σπαρτιάτου Ἡριππίδα σὺν πολλοῖς σκεύεσι καὶ ὑποζυγίοις ἁλίσκεται, εἰς λόγους πρὸς Ἀγησίλ. ἠναγκάζετο ὁ Φαρνάβαζος περὶ εἰρήνης ἐλθεῖν. Ταῦτα οὖν, τὰ τῶν κεφ. 11 καὶ 12 ὑποκείμενον ὄντα, πρὸς δὲ τούτοις τὰ τῶν ἑπομένων 13 καὶ 14 τοσοῦτον τοῖς παρὰ Ξενοφ. φερομένοις συνᾴδει, ὥστε οὐδὲ τὸ παράπαν ἂν ἀποδέξασθαι διστάσαιμεν, ὅτι ταῦτα παρ' αὐτοῦ παρείληπται. Ἵνα δὲ σαφέστερον ταῦτα δηλωθῇ, παρατιθέμεθα ἀμφοτέρων τὰ συγγενῆ χωρία.

Πλούτ. 11.

Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ Φαρναβάζῳ τεταγμένην χώραν οὐ μόνον ἐν ἀφθόνοις διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων Κότυν, ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. Ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον υἱὸν μὲν

Ξεν. Ἑλλ. ἱστ. 4, 1, 1.

Ὁ δὲ Ἀγησ. ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ εἰς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δ' ἑκούσας προσελάμβανε. . . . Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Παφλαγονίαν, ἦλθεν Ὄτυς καὶ συμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ τοῦ βασιλέως οὐκ ἀναβεβήκει. Πείσαντος δὲ τοῦ Σπιθριδάτου κατέλιπε τῷ Ἀγησιλάῳ Ὄτυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. Χάριν δὲ τούτων εἰδὼς Ἀγη-

[1] Hertzberg 260, καὶ Grote Geschichte Griechenlands 5, σελ. 193, παρατήρ. 90 (Γερμανικὴ μετάφρ.)

ἔχων Μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς 'Αγησίλ., καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. Ταύτην ἔπεισε γῆμαι τὸν Κότυν 'Αγησίλαος· καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστὰς αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν οὐχ ὑπομένοντος οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν, ἀλλ' ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοτε ἀλλαχόσε τῆς χώρας μεθιδρυόμενος, μέχρι οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης καὶ παραλαβὼν 'Ηριππίδαν τὸν Σπαρτιάτην ἔλαβε τὸ στρατόπεδον καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. Ἔνθα δὴ πικρὸς ὢν ὁ 'Ηριππίδας ἐξεταστὴς τῶν κλαπέντων καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι καὶ πάντα ἐφορῶν καὶ διερευνόμενος παρώξυνε τὸν Σπιθριδάτην, ὥστε ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων. Τοῦτο λέγεται τῷ 'Αγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. Ἤχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκὼς τὸν Σπιθριδάτην καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην . . . . Χωρὶς δὲ τῶν ἐμφανῶν τούτων ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παιδὸς ἔρως ἐνεσταγμένος. . . . . Καί ποτε τοῦ Μεγαβάτου προσιόντος ὡς ἀσπασομένου καὶ φιλήσοντος ἐξέκλινεν. 'Επεὶ δὲ ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο καὶ τὸ λοιπὸν ἤδη ἄπωθεν προσηγόρευεν, ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ 'Αγησ. προσεποιεῖτο θαυμάζειν, ὅτι δὴ παθὼν αὐτὸν ὁ Μεγαβ. ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. «Σὺ γὰρ αἴτιος» οἱ συνήθεις ἔφασαν «οὐχ ὑποστάς, ἀλλὰ τρέσας τὸ φίλημα τοῦ καλοῦ καὶ φοβηθείς· ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς

σίλαος τῷ Σπιθριδάτῃ, Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Ὅτυϊ τὴν θυγατέρα ; Πολύ γε, ἔφη, μᾶλλον ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς βασιλεύων πολλῆς καὶ χώρας καὶ δυνάμεως . . . . (14) 'Εμοὶ μὲν τοίνυν, ἔφη, δοκεῖ, ὁ 'Αγησίλαος σὲ μέν, ὦ Σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι Ὅτυϊ τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. . . . . : (15) Καὶ εὐθὺς ὁ 'Αγησίλαος ἐπὶ Δασκυλείου ἀπεπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ, ... (20) 'Εκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ ἑκατόν, καὶ εὐθὺς λέγει πρὸς τὸν 'Ηριππίδαν . . . . . (24) Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς μὲν προφυλακῆς αὐτοῦ Μυσῶν ὄντων πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι, τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα καὶ ἄλλα δὴ οἷα Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλὰ καὶ ὑποζύγια σκευοφόρα. Διὰ γὰρ τὸ φοβεῖσθαι, μή, εἴ που κατασταίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις. 'Επεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Παφλαγόνες καὶ ὁ Σπιθριδάτης, ὑποστήσας 'Ηριππίδας ταξιάρχους καὶ λοχαγοὺς ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. 'Εκεῖνοι μὲν ταῦτα παθόντες οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμασθέντες νυκτὸς σκευασάμενοι ᾤχοντο ἀπιόντες εἰς Σάρδεις . . . 'Αγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως τοῦ Σπιθριδά-

ἐκεῖνος ἐντὸς φιλήματος· ἀλλ' ὅπως αὖθις οὐκ ἀποδειλιάσεις.» Χρόνον οὖν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησ. καὶ διασιωπήσας «Οὐδὲν» ἔφη «δεινὸν πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γάρ μοι δοκῶ τήναν τὰν μάχαν τὰν περὶ τοῦ φιλήματος ἅδιον ἂν μάχεσθαι πάλιν ἢ πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι.»

του καὶ τοῦ Μεγαβάτου καὶ τῶν Παφλαγόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ.

Ξεν. Ἀγησίλ. 5, 4 «Τὸ δὲ Μεγαβάτου τοῦ Σπιθριδάτου παιδὸς ἐρασθέντα ὥσπερ ἂν τοῦ καλλίστου ἡ σφοδροτάτη φύσις ἐρασθείη, ἔπειτα ἡνίκα ἐπιχωρίου ὄντος τοῖς Πέρσαις φιλεῖν οὓς ἂν τιμῶσιν ἐπεχείρησε καὶ ὁ Μεγαβάτης φιλῆσαι τὸν Ἀγησίλαον, διαμάχεσθαι ἀνὰ κράτος τὸ μὴ φιληθῆναι, ἆρ' οὐ τοῦτό γε ἤδη τὸ σωφρόνημα καὶ λίαν γενικόν; Ἐπεὶ δὲ ὥσπερ ἀτιμασθῆναι νομίσας ὁ Μεγαβάτης τοῦ λοιποῦ οὐκέτι φιλεῖν ἐπειρᾶτο, προσφέρει τινὶ λόγον τῶν ἑταίρων ὁ Ἀγησίλαος πείθειν τὸν Μεγαβ. πάλιν τιμᾶν αὐτόν· ἐρομένου δὲ τοῦ ἑταίρου, ἢν πεισθῇ ὁ Μεγαβ., εἰ φιλήσει, ἐνταῦθα διασιωπήσας ὁ Ἀγησίλ. εἶπεν, Οὐ τὼ σιώ, οὐδ' εἰ μέλλοιμί γε αὐτίκα μάλα κάλλιστός τε καὶ ἰσχυρότατος καὶ τάχιστος ἀνθρώπων ἔσεσθαι· μάχεσθαί γε μέντοι πάλιν τὴν αὐτὴν μάχην ὄμνυμι πάντας θεοὺς ἦ μὴν μᾶλλον βούλεσθαι ἢ πάντα μοι ὅσα ὁρῶ χρυσᾶ γενέσθαι.

Πλούτ. 12.

Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτοῦ συνελθεῖν ἠθέλησε, καὶ συνῆγεν ἀμφοτέρους ὢν ξένος ὁ Κυζικηνὸς Ἀπολλοφάνης. Πρότερος δὲ μετὰ τῶν φίλων ὁ Ἀγησ. ἐλθὼν εἰς τὸ χωρίον ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας καταβαλὼν ἑαυτὸν ἐνταῦθα περιέμενε τὸν Φαρνάβαζον. Ὁ δὲ ὡς ἐπῆλθεν, ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλ. οὕτω κατακείμενον κατεκλίνη καὶ αὐτός, ὡς ἔτυχεν, ἐπὶ τῆς πόας

Ξενοφ. Ἑλλ. ἱστ. 4, 1, 29.

Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνός, ὃς καὶ Φαρναβάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. Οὗτος οὖν εἶπε πρὸς τὸν Ἀγησ., ὡς οἴοιτο συναγαγεῖν αὐτῷ ἂν εἰς λόγους περὶ φιλίας Φαρνάβαζον. Ὡς δ' ἤκουσεν αὐτοῦ, σπονδὰς λαβὼν καὶ δεξιὰν παρῆν ἄγων τὸν Φαρναβ. εἰς συγκείμενον χωρίον, ἔνθα δὴ Ἀγησίλ. καὶ οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι ἀνέμενον. Ὁ δὲ Φαρνάβ.

χαμᾶζε, καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. Ἀσπασάμενοι δὲ ἀλλήλους ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν· ὁ δὲ Ἀγησ., ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον) «Ἡμεῖς» εἶπεν «ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς καὶ νῦν πολέμιοι γεγονότες πολεμικῶς Ἓν οὖν καὶ σὲ τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. Ἀφ' ἧς δ' ἂν ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον ἢ δοῦλον λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν οὐδὲ ζηλωτόν ἐστιν». Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. «Ἐγὼ γάρ» εἶπεν «ἐὰν μὲν ἄλλον ἐκπέμπῃ βασιλεὺς στρατηγόν, ἔσομαι μεθ' ὑμῶν, ἐὰν δ' ἐμοὶ παραδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου». Ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη, καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστάς «Εἴθε» εἶπεν «ὦ Φαρνάβαζε, τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο μᾶλλον ἢ πολέμιος».

ἧκεν ἔχων στολὴν πολλοῦ χρυσοῦ ἀξίαν. Ὑποτιθέντων δὲ αὐτῷ τῶν θεραπόντων ῥαπτά, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι ὁρῶν τοῦ Ἀγησιλάου τὴν φαυλότητα· κατεκλίθη οὖν καὶ αὐτὸς ὥσπερ εἶχε χαμαί. Καὶ πρῶτα μὲν ἀλλήλους χαίρειν προσεῖπαν, ἔπειτα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβ. ἀντιπροὔτεινε καὶ ὁ Ἀγησίλαος. Μετὰ δὲ τούτου ἤρξατο λόγου ὁ Φαρν. καὶ γὰρ ἦν πρεσβύτερος. Ὦ Ἀγησίλαε καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν, ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ σύμμαχος ἐγενόμην, καὶ τὸ μὲν ναυτικὸν τὸ ὑμέτερον χρήματα παρέχων ἰσχυρὸν ἐποίουν, ἐν δὲ τῇ γῇ αὐτὸς ἀπὸ τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν εἰς τὴν θάλατταν κατεδίωκον τοὺς πολεμίους. . . . . Ὁ μὲν ταῦτ' εἶπεν. Οἱ δὲ τριάκοντα πάντες μὲν ἐπῃσχύνθησαν αὐτὸν καὶ ἐσιώπησαν. Ὁ δὲ Ἀγησ. χρόνῳ ποτὲ εἶπεν, Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς ἑλληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίνονται ἄνθρωποι. Οὗτοι δέ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι. . . . . Καὶ ἡμεῖς οὖν νῦν βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες πάντα ἠναγκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιοισαίμεθα . . . νῦν δὲ ἔξεστί σοι μεθ' ἡμῶν γενομένῳ μηδένα προσκυνοῦντα μηδὲ δεσπότην ἔχοντα ζῆν καρπούμενον τὰ ἑαυτοῦ. . . Οὐδὲ μέντοι τοῦτό σε κελεύομεν, πένητα μέν, ἐλεύθερον δ' εἶναι, ἀλλ' ἡμῖν συμμάχοις χρώμενον αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχήν, . . . Καίτοι εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέ-

οις μὴ οὐχί πάμπαν εὐδαίμων εἶναι; Οὐκοῦν, ἔφη ὁ Φαρναβ., ἁπλῶς ὑμῖν ἀποκρίνωμαι ἅπερ ποιήσω; Πρέπει γοῦν σοι. Ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι τὴν ἀρχὴν προστάττῃ, τοιοῦτόν τι, ὡς ἔοικε, φιλοτιμία ἐστίν, εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα. Ἀκούσας ταῦτα ὁ Ἀγησ. ἐλάβετο τῆς χειρὸς αὐτοῦ καὶ εἶπεν, εἴθ', ὦ λῷστε σὺ τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο.

Πλουτ. 13.

Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων, ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ καὶ μειδιῶν εἶπεν «Ἐγώ σε ξένον, ὦ Ἀγησίλαε, ποιοῦμαι»· καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. Δεξάμενος οὖν ὁ Ἀγησίλαος καὶ ἡσθεὶς τῇ τε ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς ἐπεσκόπει τοὺς παρόντας, εἴς τι ἔχοι τι τοιοῦτον, οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. Ἰδὼν δ' ἵππον Ἀδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις, ταχὺ ταῦτα περισπάσας τῷ μειρακίῳ δίδωσι. Καὶ τὸ λοιπὸν οὐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ περιϊόντι τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον ἰσχυρῶς ἐπεμελεῖτο· καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. Ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν· ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπίασιν ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησ. ὁ Πέρσης δεόμενος ὑπὲρ τοῦ παιδός· ὁ δὲ καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ.

Ξεν. Ἑλλ. ἱστ. 4, 1, 39.

Τούτων δὲ λεχθέντων, διέλυσε τὴν σύνοδον. Καὶ ὁ μὲν Φαρνάβ. ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπήει, ὁ δὲ ἐκ τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὤν, ὑπολειφθεὶς καὶ προσδραμών, Ξένον σε, ἔφη, ὦ Ἀγησίλαε, ποιοῦμαι. Ἐγὼ δέ γε δέχομαι. Μέμνησό νυν, ἔφη. Καὶ εὐθὺς τὸ παλτόν, εἶχε δὲ καλόν, ἔδωκε τῷ Ἀγησιλάῳ. Ὁ δὲ δεξάμενος, φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν αὐτῷ. Τότε μὲν οὖν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετεδίωκε τὸν πατέρα. Ὡς δὲ ἐν τῇ τοῦ Φαρναβάζου ἀποδημίᾳ ἀποστερῶν ἀδελφὸς τὴν ἀρχὴν φυγάδα ἐποίησε τὸν τῆς Παραπίτας υἱόν, τά τε ἄλλα ὁ Ἀγησίλαος ἐπεμελεῖτο αὐτοῦ, καὶ ἐρασθέντος αὐτοῦ τοῦ Εὐάλκους υἱέος Ἀθηναίου, πάντ' ἐποίησεν, ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων.

Πλούτ. 14.

Ἤδη δὲ περιόντος ἐνιαυτοῦ δευτέρου τῇ στρατηγίᾳ. . . . . δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης αὐτοῦ καὶ εὐτελείας καὶ μετριότητος. Ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων τοὺς θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας· ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν στιβάδα τῆς Ἀγησιλάου. Πρός τε θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ τοῦ Θεοῦ κεκραμέναις ὥραις πεφυκώς.

Ξενοφ. Ἀγησ. 5, 7.

Καὶ γὰρ εἰς οἰκίαν μὲν οὐδεμίαν ἰδίᾳ ἐν ἀποδημίᾳ κατήγετο, ἀεὶ δὲ ἦν ἢ ἐν ἱερῷ, ἔνθα δὴ ἀδύνατον τὰ τοιαῦτα πράττειν, ἢ ἐν φανερῷ, μάρτυρας τοὺς πάντων ὀφθαλμοὺς τῆς σωφροσύνης ποιούμενος. (5, 2) οὐ μὴν ὕπνῳ γε δεσπότῃ ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων ἐχρῆτο, καὶ εὐνήν γε εἰ μὴ τῶν συνόντων φαυλοτάτην ἔχοι, αἰδούμενος οὐκ ἄδηλος ἦν· ἡγεῖτο γὰρ ἄρχοντι προσήκειν οὐ μαλακίᾳ, ἀλλὰ καρτερίᾳ τῶν ἰδιωτῶν περιεῖναι· τάδε μέντοι πλεονεκτῶν οὐκ ᾐσχύνετο, ἐν μὲν τῷ θέρει τοῦ ἡλίου, ἐν δὲ τῷ χειμῶνι τοῦ ψύχους.

Τὴν ἐν Κορωνείᾳ τῆς Βοιωτίας γενομένην μεγάλην τῶν Λακεδαιμονίων μάχην πρὸς Βοιωτούς, Ἀθηναίους, Ἀργείους, Κορινθίους, Αἰνιᾶνας, Εὐβοεῖς, Λοκροὺς ἀμφοτέρους, ἐν ᾗ μεγάλην ἤραντο οἱ Σπαρτιᾶται νίκην, βαρέως τοῦ αὐτῶν βασιλέως τρωθέντος, ὡς καὶ τὴν μετὰ ταύτην τοῦ Ἀγησιλάου εἰς Λακεδαίμονα ἐπάνοδον ἱστορεῖ ὁ Πλούτ. ἐν τοῖς κεφ. 18 καὶ 19. Ὅτι δὲ καὶ ἐν τούτοις τὸν Ξενοφ. πρὸ αὐτοῦ εἶχεν ἐκ τῆςδε καταδείκνυται τῆς παραβολῆς.

Πλούτ. 18.

Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγεν. Οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοί, τὸ δὲ εὐώνυμον Ἀργεῖοι . . . Ἡ μὲν οὖν πρώτη σύρραξις οὐκ ἔσχεν ὠθισμὸν οὐδὲ ἀγῶνα πολύν, ἀλλὰ οἵ τε Θηβαῖοι ταχὺ τοὺς Ὀρχομενίους ἐτρέψαντο καὶ τοὺς Ἀργείους ὁ Ἀγησίλαος· ἐπεὶ δὲ ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν ἀνέστρεψαν, ἐνταῦθα τῆς

Ξεν. Ἑλλ. ἱστ. 4, 3. 16.

Συνῆεσαν μὲν γὰρ εἰς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλ. ἀπὸ τοῦ Κηφισσοῦ, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ Ἑλικῶνος. Εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τοῦ μετ' αὐτοῦ, Ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. Οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοὶ τὸ εὐώνυμον εἶχον. Συνιόντων δὲ τέως μὲν σιγὴ πολλὴ ἀπ' ἀμφοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. Ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν

νίκης ἀκινδύνου παρούσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν ὤσασθαι κατὰ κράτος βουλόμενος. Οἱ δὲ οὐχ ἧττον ἐρρωμένως ἐδέξαντο καὶ μάχη γίνεται δι' ὅλου μὲν ἰσχυρὰ τοῦ στρατεύματος, ἰσχυροτάτη δέ . . . . . Διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον, εἶτα . . . ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον. Οὐ μήν γε ἐτρέψαντό γε, ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα . . . .

Πλούτ. 19.

μέσῳ ὄντων ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλ. φάλαγγος . . . . καὶ εἰς δόρυ ἀφίκοντο ἔτρεψαν τὸ καθ' αὐτούς. Ἀργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Ἀγησίλ., ἀλλ' ἔφυγον ἐπὶ τὸν Ἑλικῶνα Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλ. ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους διακόψαντες ἐν τοῖς σκευοφόροις εἶησαν. Καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς Ἑλικῶνι πεφευγότας διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες ἐχώρουν ἐρρωμένως. Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. Ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας ἀκολουθοῦντι χειροῦσθαι ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δὲ ἀποχωροῦντες ἀπέθανον.

Ξενοφ. Ἑλλ. ἱστ. 4, 3, 20.

Ἀγησίλαος δέ, καίπερ ὑπὸ τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. Ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. Πλησίον γὰρ ὁ νεὼς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς... Ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγησίλαος, εἰ διαμαχοῦνται, στεφα-

Ἐπεὶ δὲ ἡ μὲν νίκη Ἀγησιλάου ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι, καὶ ἠρώτων, τί χρὴ ποιεῖν· ὁ δέ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τ' ἀπιέναι ἢ βούλοιντο ἐκέλευσε καὶ ἀδικεῖν οὐκ εἴα. Τότε μὲν οὖν, καὶ γὰρ ἦν ἤδη ὀψέ, δειπνοποιησάμενοι ἐκοιμήθησαν. Πρωΐ

νοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ τοὺς αὐλητάς, ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον ὡς νενικότας. Ὡς δὲ ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο, καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος εἰς Δελφοὺς ἀπεκομίσθη, πυθίων ἀγομένων, καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων ἑκατὸν ταλάντων γενομένην. Ἐπεὶ δὲ ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης·... ἀλλὰ τὰ παρόντα τιμῶν καὶ στέργων οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρόν, οὐ θεραπείαν γυναικός, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευήν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως οὔσας σφόδρα παλαιάς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν Ἀριστόδημος. Καὶ τὸ κάνναθρόν φησιν ὁ Ξενοφῶν οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς ἢ τῶν ἄλλων,

δὲ Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευε τὸ στράτευμα καὶ τρόπαιον ἵστασθαι καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν, Καὶ οἱ μὲν ταῦτα ἐποίουν. Οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. Καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται καὶ Ἀγησίλαος μὲν εἰς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ Θεῷ ἀπέθυσεν οὐκ ἐλάττω ἑκατὸν ταλάντων.

Ξενοφ. Ἀγησ. 8, 7.

Ὁ δὲ οὕτως ἀντεσκευάσατο τὸν οἶκον, ὥστε τούτων μηδενὸς προσδεῖσθαι. Εἰ δέ τις ταῦτα ἀπιστεῖ, ἰδέτω μὲν οἵα οἰκία ἤρκει αὐτῷ, θεασάσθω δὲ τὰς θύρας αὐτοῦ· εἰκάσειε γὰρ ἄν τις ἔτι ταύτας ἐκείνας εἶναι, ἅς περ Ἀριστόδημος ὁ Ἡρακλέους ὅτε κατῆλθε λαβὼν ἐπεστήσατο· πειράσθω δὲ θεάσασθαι τὴν ἔνδον κατασκευήν,. . ἀκουσάτω δὲ ὡς ἐπὶ πολιτικοῦ καννάθρου κατῄει εἰς Ἀμύκλας ἡ θυγάτηρ αὐτοῦ.

Εὕρηνται ἐν τοῖς προκειμένοις κεφ. ἀφηγήσεις, ἃς ὁ Πλούτ. αὐτός, οὐ παρὰ τῆς πηγῆς αὐτοῦ παραλαβών, παρεμβάλλει· εἰσὶ δ' αὗται ἐν μὲν τῷ 18. ἡ περὶ τῶν πεντήκοντα εὐγενῶν νέων Σπαρτιατῶν, οὓς οἱ ἐν τῇ πόλει τῷ Ἀγησιλάῳ πεπόμφασι, καὶ οἳ περὶ αὐτὸν γενναίως ἠγωνίζοντο. «Ἀγωνιζόμενοι γὰρ εὐθύμως, καὶ προκιν»δυνεύοντες ἄτρωτον μὲν αὐτὸν οὐκ ἐδυνήθησαν φυλάξαι, πολλὰς δὲ »διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφισι μόλις ἀνήρπασαν ζῶντα.» Ἐν δὲ τῷ 19 ἡ περὶ τοῦ ἱεροῦ, εἰς ὃ μέρος τῶν πολεμίων κατέφυγε, καὶ οὗ τινος καὶ τὸ ὄνομα ὁ Πλούτ. προστίθησι («Πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς, καὶ πρὸ αὐτοῦ τρόπαιον»...»), οὐδὲν περὶ τούτου τοῦ Ξενοφῶντος γιγνώσκοντος ἁπλῶς λέγοντος· «λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ ναῷ εἰσι.»

Τῶν παρεμβεβλημένων οὖν τούτων διηγηματίων τὴν πηγὴν οὐ γι-

νώσκομεν, οὐδὲ εὑρεῖν αὐτὴν δυνάμεθα. Ἀλλ' οὐδένα μέν τοι λόγον πιστεῦσαι ἔχομεν, ταῦτα ἐκ τοῦ Ἐφόρου τῷ Πλουτ. εἰρύσθαι, ὡς ὁ Stedefeldt δοκεῖ πιστεύειν, καὶ ταῦτα τούτοις καταλέγων τὰ χωρία, ἃ μετὰ μεγάλης συνάπτεται τῆς τέχνης ἐν τῇ ὅλῃ διηγήσει, καὶ ὧν οὐχ ὁ Πλούτ., ἀλλ' ὁ Ἔφορος ὁ τεχνίτης ἐστίν, καθ' ἅπερ ἐν τοῖς πρόσθεν ἤδη εἴρηταί μοι Ἔμοι γε μέν τοι δοκεῖ ταῦτα ἐκείνων τῶν βραχέων διηγηματίων εἶναι, ἅπερ ὁ Πλούτ., ἵνα ἐναργέστερα καὶ δραματικώτερα τὰ ὑπ' αὐτοῦ ἱστορούμενα παραστήσῃ, ἀλλαχόθεν πολλάκις ἀρυόμενος ἐν τῇ κυρίᾳ παρεμβάλλει διηγήσει. Οὕτως οὖν οὐ τούτῳ μόνον ἀρκούμενος τῆς τῶν πολεμίων εἰς τὸ ἱερὸν καταφυγῆς μνημονεῦσαι, ἀλλὰ καὶ τὸ τοῦ ἱεροῦ ὄνομα τοῖς ἀναγινώσκουσι δηλῶσαι βουλόμενος, προσέθηκε τοῦτο, εἴτε αὐτὸς ὡς Βοιώτιος γινώσκων τοῦτο, εἴτε παρὰ τῆς αὐτῆς παραλαβὼν πηγῆς, ᾗ καὶ ὁ Παυσανίας ἐν τούτοις ἐχρήσατο. Μνημονεύων γὰρ καὶ αὐτὸς διὰ πάνυ βραχέων τῆς ἐν Κορωνείᾳ μάχης καὶ τὸ τοῦ ἱεροῦ ὄνομα ἀναφέρει, ὧδε ἱστορῶν (3, 9, 7)· «Ἀγησίλαος δὲ τὴν Θεσσαλίαν τε διῆλθε »τρεψάμενος αὐτῶν τὸ ἱππικόν, καὶ αὖθις διὰ Βοιωτίας διώδευσε Θη»βαίους ἐν Κορωνείᾳ καὶ τὸ ἄλλο νικήσας συμμαχικόν. Ὡς δὲ ἐτρά»ποντο οἱ Βοιωτοί, καταφεύγουσιν ἄνδρες ἐξ αὐτῶν ἐς ἱερὸν Ἀθηνᾶς »ἐπίκλησιν Ἰτωνίας. Ἀγησίλαος δὲ εἶχε μὲν τραῦμα ἐκ τῆς μάχης, »ἐς δὲ τοὺς ἱκέτας παρενόμησεν οὐδ' οὕτως.» Οὐχὶ τοῦ Παυσανίου μακρότερον περὶ τούτων ἱστοροῦσι καὶ ὁ Διόδωρος (14, 84), ὃς ἐν δέκα καὶ πέντε στίχοις μόνον τὴν μεγίστην περιγράφει ταύτην μάχην, καὶ ὁ Κορνήλ. Νέπως ἐν βίῳ Ἀγησιλ. 4, 4, τάδε λέγων· «Cum jam haud ita longe abesset a Peloponnesso, obsistere ei conati sunt Athenienses et Boeotii ceterique eorum socii aput Coroneam; quos omnes gravi proelio vicit. Hujus victoriae vel maxima fuit laus, quod, cum plerique ex fuga se in templum Minervai conjecissent quaerereturque ab eo, quid his vellet fieri.. etc.

Ἐν τῇ αὐτῇ τέλος τῶν κεφ. τάξει, ἃ μόνον οὐκ αὐτοῖς ῥήμασιν ἐκ τοῦ Ξενοφῶντος τῷ Πλουτάρχῳ ἀντιγέγραπται, εἰκότως καὶ τὰ 22, 25, 29 καταταχθῆναι δύναται. Πλὴν γὰρ ὀλίγων, ἅπερ τὰ μὲν ἀγνώστου συγγραφέως ἐστίν, οἷον τὸ τέλος τοῦ 25 κεφ., ἔνθα περὶ τῆς τοῦ Ἀγησ. φιλοτεχνίας ὁ λόγος ἐστί, τὰ δὲ τοῦ βιογράφου κτῆμα πνευματικὸν δοκεῖ εἶναι, ὡς ἡ τοῦ 29 ἀρχή, μεγίστην ἔχει τὰ

ἄλλα τὴν ὁμοιότητα τῶν παρ' ἀμφοτέροις ἱστορουμένων, ὡς πάνυ ῥᾳδίως πᾶς ὁ τὴν ἑπομένην παράθεσιν ἐπισκοπῶν πείθεται.

Πλούτ. 22.

Διατρίβοντος δὲ περὶ τὴν Κορινθίαν αὐτοῦ καὶ τὸ Ἡραῖον εἰληφότος καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. Ὁ δὲ μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο μήτε ὁρᾶν αὐτοὺς μήτε ἀκούειν ἐντυγχανόντων. Ἔπαθε δὲ πρᾶγμα νεμεσητόν· οὔπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων ἧκόν τινες ἀπαγγέλλοντες αὐτῷ τὴν μόραν ὑπὸ Ἰφικράτους κατακεκόφθαι. Καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς· πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας καὶ μισθοφόρων Λακεδαιμονίους. Ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων· ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἧκε, καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν. Ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρεθῆναι δὲ ἠξίουν εἰς Κόρινθον, ὀργισθεὶς ὁ Ἀγησίλαος εἶπεν· «Εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει.» Καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ τήν τε χώραν τῶν Κορινθίων ἔκοπτε καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. Οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας ἀφῆκε τὴν πρεσβείαν.

Ξεν. Ἑλλ. ἱστ. 4, 5, 6.

Ἐκ τούτου δὲ ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχμάλωτα· πρέσβεῖαι δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν καὶ ἐκ Βοιωτῶν ἧκον ἐρησόμενοι, τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. Ὁ δὲ Ἀγησίλ. μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾶν ἐδόκει,... καθήμενος δ' ἐπὶ τοῦ περὶ τὴν λίμνην κυκλοτεροῦς οἰκοδομήματος ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. Τῶν δὲ Λακεδαιμον. ἀπὸ τῶν ὅπλων σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώτων.... Ἔτι δὲ καθημένου Ἀγησιλάου καὶ ἐοικότος ἀγαλλομένου τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε καὶ μάλα ἰσχυρῶς ἱδροῦντι τῷ ἵππῳ.... ἀλλ' ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλ., καθαλόμενος ἀπὸ τοῦ ἵππου καὶ προσδραμὼν αὐτῷ μάλα σκυθρωπὸς ὢν λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος. Ὁ δ' ὡς ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε καὶ τὸ δόρυ ἔλαβε καὶ πολεμάρχους..... καλεῖν τὸν κήρυκα ἐκέλευεν. Ὡς δὲ συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν,.... ἐμφαγοῦσιν ὅτι δύνανται ἥκειν τὴν ταχίστην, αὐτὸς δὲ σὺν τοῖς παρὰ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος .... Ἤδη δ' ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ εἰς τὸ πλατὺ τοῦ Λεχαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν, ὅτι οἱ νεκροὶ ἀνῃρημένοι εἴησαν. Ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε..... ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἡραῖον..... (9) Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες καὶ ἐρωτώμενοι, ὅτι ἥκοιε, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δέ,

ὅτι, εἰ μή τι κωλύοι βούλοιντο εἰς ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. Ὁ δ' ἐπιγελάσας, Ἀλλ' οἶδα μέν, ἔφη, ὅτι οὐ τοὺς στρατιώτας ἰδεῖν βούλεσθε, ἀλλὰ τὸ εὐτύχημα τῶν φίλων ὑμῶν θεάσασθαι πόσον τι γεγένηται. Περιμείνατε οὖν, ἔφη· ἐγὼ γὰρ ὑμᾶς αὐτὸς ἄξω, καὶ μᾶλλον μετ' ἐμοῦ ὄντες γνώσεσθε, ποῖόν τι τὸ γεγενημένον ἐστί. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. Καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἐπεδείκνυεν, ὡς οὐδεὶς ἀντεξῄει· καὶ τοὺς Θηβαίων μέντοι πρέσβεις..... κατὰ θάλατταν εἰς Κρεῦσιν ἀπέπεμψεν ...

Αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβὼν ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχαίρωσιν.

(11) Ἐκ δὲ τούτου ὁ Ἀγησ. τὴν μὲν σφαλεῖσαν μόραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ. Διιὼν δὲ ἐπ' οἴκου ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετο εἰς τὰς πόλεις, ὡς δ' ἐδύνατο πρωϊαίτατα ἐξωρμᾶτο.... Οὕτω χαλεπῶς ἂν ἐδόκουν οἱ στρατιῶται τοὺς Μαντινέας ἐφηδομένους τῷ δυστυχήματι θεάσασθαι.

Ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς διέβαινεν εἰς Ἀκαρνανίαν στρατιᾷ μετ' αὐτῶν, καὶ πολλὴν μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε.

(4, 6, 3) Καὶ ἐκπέμπουσιν Ἀγησ. δύο μόρας ἔχοντα καὶ τῶν συμμάχων τὸ μέρος. Οἱ μέντοι Ἀχαιοὶ πανδημεὶ συνεστρατεύοντο....Ὁ δὲ Ἀγησ. ἐπεὶ ἐγένετο ἐν τοῖς ὁρίοις τῆς πολεμίας, πέμψας εἰς Στράτον πρὸς τὸ κοινὸν τῶν Ἀκαρνάνων εἶπεν, εἰ μή...., δῃώσει πᾶσαν τὴν γῆν αὐτῶν ἐφεξῆς καὶ παραλείψει οὐδέν..... (6) ἡμέρᾳ (δὲ) πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ ἀφ' ἧς εἰσέβαλε θυσάμενος πρωῒ διεπορεύθη... ἐπὶ τὴν λίμνην,.... καὶ ἔλαβε παμπληθῆ καὶ βουκόλια καὶ ἱπποφόρβια καὶ ἄλλα παντοδαπὰ βοσκήματα καὶ ἀνδράποδα πολλά......

Δεομένων δὲ τῶν Ἀχαιῶν ὅπως τὸν

(4, 6, 13)... Ἐδέοντό τε, εἰ μή τ·

χειμῶνα παραμείνας ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν, μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτούς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν· ὃ καὶ συνέβη. Παραγγελλομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας διηλλάγησαν τοῖς 'Αχαιοῖς.

ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον καταμεῖναι αὐτόν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς 'Ακαρνᾶσιν. 'Ο δὲ ἀπεκρίνατο, ὅτι τὰ ἐναντία λέγοιε τοῦ συμφέροντος. 'Εγὼ μὲν γάρ, ἔφη, στρατεύσομαι πάλιν δεῦρο εἰς τὸ ἐπιὸν θέρος· οὗτοι δὲ ὅσῳ ἂν πλείω σπείρωσι, τοσούτῳ μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι. Ταῦτα δὲ εἰπὼν ἀπῄει... (47. 1). Παρελθόντος δὲ τοῦ χειμῶνος.... εὐθὺς ἀρχομένου τοῦ ἦρος πάλιν φρουρὰν ἔφαινεν ἐπὶ τοὺς 'Ακαρνᾶνας. Οἱ δὲ αἰσθόμενοι... ἔπεμψαν πρέσβεις εἰς Λακεδαίμ. καὶ εἰρήνην πρὸς τοὺς 'Αχαιούς, συμμαχίαν δὲ πρὸς τοὺς Λακεδαιμονίους ἐποιήσαντο.

Πλούτ. 25.

Εἶχεν οὖν υἱὸν ὁ Σφοδρίας Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν 'Αρχίδαμος ὁ 'Αγησιλάου τοῦ βασιλέως υἱὸς ἤρα. Καὶ τότε συνηγωνία μὲν αὐτῷ κινδυνεύοντι περὶ τοῦ πατρός, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν· ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ 'Αγησιλάου. Τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν 'Αγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς σιωπῇ παρηκολούθει· τέλος δὲ τῆς κρίσεως ἐγγὺς οὔσης ἐτόλμησεν εἰπεῖν πρὸς τὸν 'Αγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. 'Ο δὲ 'Αγησίλας εἰδὼς ἐρῶντα τὸν 'Αρχίδαμον οὐκ ἔπαυσεν· ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴ τις καὶ ἄλλος ἀνὴρ ἔσεσθαι σπουδαῖος. Οὐ μὴν ἐνέδωκέ τι

Ξεν. 'Ελλ. ἱστ. 5, 4, 25

Ἦν υἱὸς τῷ Σφοδρίᾳ Κλεώνυμος ὄνομα, ἡλικίαν τε ἔχων τὴν ἄρτι ἐκ παίδων καὶ ἅμα κάλλιστός τε καὶ εὐδοκιμώτατος τῶν ἡλίκων. Τούτου δ' ἐρῶν ἐτύγχανεν 'Αρχίδαμος ὁ 'Αγησιλάου. Οἱ μὲν οὖν τοῦ Κλεομβρότου φίλοι,... τὸν (δέ) γε 'Αγησίλαον ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδόκει πεποιηκέναι..... 'Ο δὲ (Κλεώνυμος) ἀκούσας ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν 'Αρχίδαμον καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ πατρὸς γενέσθαι. 'Ο μέν τοι 'Αρχίδαμος ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα συνεδάκρυε παρεστηκώς· ἀκούσας δὲ δεομένου ἀπεκρίνατο, 'Αλλ', ὦ Κλεώνυμε, ἴσθι μέν, ὅτι ἐγὼ τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλὰ κἄν τι βούλομαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον ἢ τοῦ πατρὸς δέομαι· ὅμως δέ, ἐπεὶ σὺ κελεύεις, νόμιζε πᾶσάν με προθυμίαν ἕξειν ταῦτά σοι πραχθῆναι. Καὶ τότε μὲν δὴ ἐκ τοῦ

τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι δεομένῳ τῷ παιδί, σκέψεσθαι δὲ φήσας ὅ τι καλῶς ἔχοι καὶ πρεπόντως, ἀπῆλθεν. Αἰδούμενος οὖν ὁ Ἀρχίδαμος ἐξέλειπε τὸ προσιέναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. Ἐκ δὲ τούτου κἀκεῖνοι τὰ κατὰ τὸν Σφοδρίαν μᾶλλον ἀπέγνωσαν, ἄχρι οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου· τὸ μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτόν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι καὶ τὴν πόλιν ὁρᾶν τοιούτων στρατιωτῶν δεομένην. Τούτους γὰρ ὁ Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης τῷ παιδὶ χαρίζεσθαι βουλόμενος, ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρίου θαρροῦντας ἤδη βοηθεῖν.

φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν ἀνεπαύετο· τοῦ δὲ ὄρθρου ἀναστὰς ἐφύλαττε, μὴ λάθοι αὐτὸν ὁ πατὴρ ἐξελθών. Ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόντα, πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ' εἴ τις ξένος, ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει. Τέλος δ,' ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησ. εἰσῆλθεν οἴκαδε, ἀπιὼν ᾤχετο οὐδὲ προσελθών. Καὶ τῇ ὑστεραίᾳ δὲ ταὐτὰ ταῦτα ἐποίησεν... Ὁ δ' αὖ Ἀρχίδαμος ἐπεθύμει μέν, ὥσπερ εἰκός, ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέν τοι ἔλθοι πρὸς αὐτὸν μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν ἐκεῖνος ἐδεήθη, οὐκ εἶχεν. Οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν οὐχ ὁρῶντες τὸν Ἀρχίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν, μὴ λελοιδορημένος ὑπ' Ἀγησιλάου εἴη. Τέλος μέν τοι ὁ Ἀρχ. ἐτόλμησε προσελθεῖν καὶ εἰπεῖν, Ὦ πάτερ, Κλεώνυμός με κελεύει σου δεηθῆναι σῶσαί οἱ τὸν πατέρα· καὶ ἐγὼ ταῦτά σου δέομαι, εἰ δυνατόν .... (31) Ὁ δὲ εἶπεν· Οὐκοῦν ἂν μέλλῃ καλὰ ταῦθ' ἡμῖν εἶναι, οὕτως ἔσται. Ὁ μὲν δὴ ταῦτ' ἀκούσας μάλα δύσελπις ὢν ἀπῄει. Τῶν δὲ τοῦ Σφοδρίου φίλων τις διαλεγόμενος Ἐτυμοκλεῖ εἶπεν, Ὑμεῖς μέν, οἶμαι, ἔφη, οἱ Ἀγησιλάου φίλοι πάντες ἀποκτενεῖτε τὸν Σφοδρίαν. Καὶ ὁ Ἐτυμοκλῆς, Μὰ Δία, οὐκ ἄρα ταῦτ' ἔφη, ποιήσομεν Ἀγησιλάῳ, ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας, ὅσοις διείλεκται, ταὐτὰ λέγοι, μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον εἶναι· ὅστις μέν τοι παῖς τε ὢν καὶ παιδίσκος καὶ ἡβῶν πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτεννύναι· τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν. Ὁ οὖν

ἀκούσας ταῦτα ἀπήγγειλε τῷ Κλεωνύμῳ. Ὁ δ' ἡσθείς, εὐθὺς ἐλθὼν πρὸς τὸν Ἀρχίδαμον εἶπεν, Ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν· εὖ δ' ἐπίστω,..... Τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγε.

Πλούτ. 29.

Ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα καὶ ξένων οὖσα μεστή· γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. Οἱ δὲ ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν, ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. Ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους, οἱ δὲ τῶν σωζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἴκοι διέτριβον, εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος.

Ξενοφ. Ἑλλ. ἱστορ. 6, 4, 16.

Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέν τοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. Καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπαν δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. Τῇ δὲ ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας.

Τῶν οὖν ἐξετασθέντων καὶ παραβληθέντων κεφ. τὰ πλείονα ταὐτά ἐστι τοῖς ὑπὸ τοῦ Siedefeldt εἰς ἐξέτασιν ὑποβληθεῖσι πρὸς τὸ τὰ ὑπ' αὐτοῦ λεγόμενα τεκμηριῶσαι Καίπερ δὲ ἀναγνωρίζων καὶ ὁμολογῶν τὴν μεγίστην καὶ ἀναμφίλογον ὁμοιότητα, ἣ ἐν τοῖς ὑπὸ τοῦ Πλουτάρχου καὶ τοῦ Ξενοφῶντος ἱστορουμένοις ὑπάρχει, οὐχ

ἑαυτὸν ὅμως πεῖσαι δύναται παραδέξασθαι, ὅτι ἀμέσως ταῦτα παρὰ τοῦ Ξενοφ. ὑπὸ τοῦ βιογράφου παρείληπται, ἐκ τῶν ὀλίγων εἰς τοῦτο κωλυόμενος, ἅπερ παρὰ Πλουτάρχῳ μόνον εὕρηται, ὡς ἔμπροσθεν ἤδη εἴρηται. Ἡγούμενοι μέν τοι τὴν προκειμένην τῶν συγγενῶν παράθεσιν χωρίων ἀρκούντως σαφῶς τὴν ἀληθῆ τοῦ Πλουτάρχου πηγὴν δεικνύναι, εἰς τὴν τῶν τῆς δευτέρας τάξεως κεφ. ἐξέτασιν προβαίνομεν.

2

Οὕτω τὸ τῶν πλειόνων τῆς παρούσης τάξεως κατατέτακται περιεχόμενον, ὥστε τὸ μὲν αὐτοῦ παρὰ Ξενοφῶντι τὴν ἀρχὴν ἔχει, τὸ δὲ παρὰ Ἐφόρῳ, εὑρισκομένων πρὸς τούτοις καὶ χωρίων, ἅπερ ἀγνώστοις ἡμῖν συγγραφεῦσιν ἀνάγεται. Τούτων δὲ σαφέστατα παρέχει τεκμήρια τὰ κεφ. 20 καὶ 27· ἀμφοτέρων γὰρ ἡ μὲν ἀρχὴ παρὰ Ξενοφ. τὴν παράλληλον καὶ συγγενῆ ἔχει ἀφήγησιν, τὰ δὲ λοιπὰ κατὰ πλεῖστον μέρος τῷ Ἐφόρῳ, ὡς ἐκ τῶνδε καταφαίνεται.

Πλούτ. 20.	*Ξενοφ. Ἐγκωμ. Ἀγησ. 9, 6.*
Οὐ μὴν ἀλλ' ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγάλα φρονοῦντας ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν ἅρμα καθεῖσαν Ὀλυμπίασιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη.	Ἐκεῖνό γε μὴν πῶς οὐ καλὸν καὶ μεγαλόγνωμον, τὸ αὐτὸν μὲν ἀνδρὸς ἔργοις καὶ κτήμασι κοσμεῖν τὸν ἑαυτοῦ οἶκον,... Κυνίσκον δὲ ἀδελφὴν οὖσαν πεῖσαι ἁρματοτροφεῖν καὶ ἐπιδεῖξαι νικώσης αὐτῆς ὅτι τὸ θρέμμα τοῦτο οὐκ ἀνδραγαθίας ἀλλὰ πλούτου ἐπίδειγμά ἐστι.

Ὅτι δὲ τὸ δεύτερον τοῦ παρόντος κεφ. μέρος· «Τοῦ δὲ Λυσάνδρου τετελευτηκότος....—ἐπείσθη καὶ καθησύχαζε,» ἐν ᾧ περὶ ἀνακαλύψεως ἑταιρείας τινὸς ἱστορεῖ ὁ Πλούταρχ., ἣν ὁ Λύσανδρος ἀπὸ τῆς Ἀσίας ἐπανελθὼν ἐπὶ τὸν Ἀγησίλαον συνέστησε, τῷ Ἐφόρῳ ἀποδίδοται, ἐξ αὐτοῦ διδασκόμεθα τοῦ Πλούτ. καὶ ἐκ τοῦ Διοδώρου· ὁμοίως γὰρ ἀμφότεροι ὁ μὲν ἐν βίῳ Λυσάνδρου 25 καὶ 30, ὁ δὲ ἐν

14, 13 διὰ μακρῶν περὶ τοῦ αὐτοῦ ἀφηγοῦνται, παρὰ τῆς αὐτῆς ταῦτα παραλαβόντες πηγῆς, ἣν διαρρήδην ἐν βίῳ Λυσ. 30 ὁ Πλουτ. παρατίθεται «Χρόνῳ δ' ὕστερον Ἔφορός φησιν ἀντιλογίας τινὸς συμ»μαχικῆς ἐν Σπάρτῃ γενομένης καὶ τὰ γράμματα διασκέψασθαι δεή»σαν, ἃ παρ' ἑαυτῷ κατέσχεν ὁ Λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν »Ἀγησίλαον. Εὑρόντα δὲ τὸ βιβλίον....» Ὁ ἀνὴρ δὲ μόνον, δι' οὗ τὴν ἱέρειαν πεῖσαι ὁ Λύσανδρος τοῦ ἐν Δωδώνᾳ μαντείου ἐπειρᾶτο, ὑπὲρ τῶν αὐτοῦ σκοπῶν ἀποφανθῆναι, Φερεκλῆς μὲν ὑπὸ τοῦ Πλουτ., ὑπὸ δὲ τοῦ Διοδώρου Φερεκράτης ὀνομάζεται, ὅπερ τῇ ἀμελείᾳ ἴσως καὶ ὀλιγωρίᾳ ἀντιγραφέως τινὸς ἀποδοτέον. Τῶν τοῦ Λυσάνδρου μνημονεύει ἀνατρεπτικῶν σκοπῶν καὶ ὁ Κορνήλ. Νέπως ἐν βίῳ Λυσάνδρου 3, ὡς καὶ ὁ Ἀριστοτέλης, λέγων ἐν πολιτ. 5, 1 «ἐν Λακεδαίμονί φασι Λύσανδρόν τινες ἐπιχειρῆσαι καταλῦσαι τὴν βασιλείαν» [1] Τίνι δὲ τὰ ἐν τῷ τελευταίῳ τοῦ κεφ. μέρει ἱστορούμενα ὀφείλεται οὐκ εἰπεῖν ἔχομεν, ἴσως μέντοι τῷ Θεοπόμπῳ, τοῦτον ἐνθυμούμενοι τὸν ἱστορικὸν παρὰ τοῖς ἄλλοις δύο διάσημον ὄντα, ὃν καὶ οὐ μικρὸν ὁ ἡμέτερος συμβουλεύεται βιογράφος, ὡς ἐκ πολλῶν τοῦ βίου χωρίων πρόδηλον καθίσταται.

Πλούτ 27.

Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατιὰν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν Ἀκρόπολιν, σπάσμα καὶ πόνον ἰσχυρὸν ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν μεστὸν αἵματος ἔδοξε γεγονέναι καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. Ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν, αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως λιποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. Οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε· καὶ κομισθεὶς εἰς

Ξεν. Ἑλλην. ἱστορ. 5, 4, 58.

Ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος ὁ μὲν Ἀγησίλ. κλινοπετὴς ἦν. Ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν, ἐν τοῖς Μεγάροις ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ Ἀφροδισίου εἰς τὸ ἀρχεῖον ῥήγνυται ὁποία δὴ φλέψ, καὶ ἐρρύη τὸ ἐκ τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. Γενομένης δὲ τῆς κνήμης ὑπερόγκου καὶ ὀδυνῶν ἀφορήτων, Συρακόσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτοῦ. Ὡς δὲ ἅπαξ ἤρξατο, ἔρρει αὐτῷ νύκτα τε καὶ ἡμέραν τὸ αἷμα, καὶ πάντα ποιοῦντες οὐκ ἐδύναντο σχεῖν τὸ ῥεῦμα πρὶν ἐλειποψύχησε· τότε μέντοι ἐ-

[1] Ὅρ. Nipperdey Corn. Nep. Lys. 45, anm.

Λακεδαίμονα πολὺν χρόνον ἔσχεν ἀρρώστως καὶ πρὸς τὰς στρατείας ἀδυνάτως.

παύσατο. Καὶ οὕτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς Λακεδαίμονα ἠρρώστει τε τὸ λοιπὸν θέρος καὶ διὰ χειμῶνος.

Πολλῶν δὲ κατὰ γῆν καὶ κατὰ θάλασσαν γενομένων πταισμάτων, ἅπερ διὰ μακρῶν παρὰ Ξεν. (Ἑλλ. ἱστ. 5, 4, 34) καὶ Διοδώρῳ (15, 28—38) ἱστορούμενα εὕρηται, «ἔδοξε πᾶσιν, ὥς φησιν ὁ Πλούτ., »θέσθαι πρὸς πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέ»σβεις εἰς Λακεδαίμονα ποιησόμενοι τὰς διαλύσεις»[1] Τούτων οὖν εἷς ἦν τῶν πρέσβεων καὶ Ἐπαμεινώνδας, ὃν οἱ Θηβαῖοι ἀπεστάλκασι, καὶ ὃς ἀνὴρ ἔνδοξος «ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ ἦν.» Οὐδεμίαν δὲ περὶ τοῦ ἐνδόξου τούτου ἀνδρὸς μνείαν τοῦ Ξενοφ. ποιουμένου, τάδε ὁ Διόδωρός φησιν (15, 39) «Οὗτος γὰρ οὐ μόνον τῶν ὁμοεθνούντων, »ἀλλὰ καὶ πάντων Ἑλλήνων πολὺ προέσχεν ἀνδρείᾳ τε καὶ στρατη»γικῇ συνέσει· μετέσχε γὰρ ἐπὶ πολὺ *πάσης παιδείας* καὶ μάλι»στα τῆς Πυθαγορικῆς *φιλοσοφίας*». Ἐπεὶ τοίνυν ἀρκούντως παραπλήσιά ἐστι τὰ ὑπὸ τοῦ Πλουτ. καὶ τοῦ Διοδώρου ἀφηγούμενα, οὐχ' ἡμᾶς αὐτοὺς ἐξαπατῆσαι ἡγούμεθα, εἰ παραδεξαίμεθα καὶ τὸν Πλούταρχον τῇ αὐτῇ τῷ Διοδ. χρήσασθαι πηγῇ, τῷ Ἐφόρῳ. Τὸν αὐτὸν δὲ τῷ Πλουτ. ἱστορεῖ τρόπον καὶ ὁ Κορν. Νέπ. ἐν βίῳ Ἐπαμ. (6, 4) περὶ τῆς τοῦ Ἐπαμεινώνδου πρεσβείας. Ἔτι δὲ καὶ ὁ Πολύβιος (2, 62, 6) τούτων διὰ βραχέων μνημονεύει, λέγων «Τίς γὰρ »ὑπὲρ Ἀθηναίων οὐχ ἱστόρηκε, διότι καθ' οὓς καιροὺς μετὰ Θηβαίων »εἰς τὸν πρὸς Λακεδαιμονίους ἀνέβαινον πόλεμον, καὶ μυρίους μὲν »ἐξέπεμπον στρατιώτας, ἑκατὸν δ' ἐπλήρουν τριήρεις. ;»

Κεφ. 6. Καὶ τούτου τοῦ κεφ., ἐν ᾧ ἡ περὶ τῶν πολεμικῶν τοῦ μεγάλου βασιλέως παρασκευῶν κατὰ τῆς Ἑλλάδος ἀπαγγελία ἐκτίθεται, καὶ ἡ τῶν Σπαρτιατῶν ἀπόφασις τὸν πρὸς τοὺς Πέρσας πόλεμον ἀναλαβεῖν, καὶ ἡ ἐκ Σπάρτης ἔξοδος τοῦ Ἀγησιλάου, τὸ πρῶτον μέρος ἐκ τοῦ Ξενοφ. ἠρύσατο ὁ Πλούτ., ὡς ἡμᾶς ἡ παραπλησία ἀφήγησις περὶ τούτου πείθει.

Πλούτ. 6.

Τοῦ δὲ Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος ἀπήγγελλόν τινες

Ξεν. Ἑλλην. ἱστορ. 3, 4 1.

Μετὰ δὲ ταῦτα Ἡρώδας τις Συρακόσιος ἐν Φοινίκῃ ὢν μετὰ ναυκλήρου

[1] Τὰ τῆς εἰρήνης ἱστορεῖ ὁ Ξενοφ. ἐν Ἑλλ. ἱστορ. 6, 3, 1—2.

ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ Λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. Ὁ δὲ Λύσανδρος ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπιθέσθαι τῇ στρατείᾳ καὶ προπολεμῆσαι τῆς Ἑλλάδος,..... Παρελθὼν οὖν εἰς τὸ πλῆθος Ἀγησίλαος ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους Σπαρτιάτας, νεοδαμώδεις δὲ λογάδας δισχιλίους, τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δύναμιν.

τινὸς καὶ ἰδὼν τριήρεις Φοινίσσας τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας,.... ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον εἰς τὴν Ἑλλάδα ἐξήγγειλε τοῖς Λακεδαιμ. ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρεσκευαζομένων....Ἀνεπτερωμένων δὲ τῶν Λακεδαιμ. καὶ τοὺς συμμάχους συναγόντων καὶ βουλευομένων τί χρὴ ποιεῖν, Λύσανδρος..... πείθει τὸν Ἀγησίλ. ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν Ἀσίαν. Πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν,.....πάλιν καταστήσειε μετ' Ἀγησιλάου. Ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησ. τὴν στρατείαν.,..-

Περιβάλλει δὲ ὁ Πλούτ τῷ ἔθει αὐτοῦ ἑπόμενος τὸ κεφαλαιῶδες τοῦτο μέρος καὶ ἄλλαις ἀφηγήσεσιν, ἵνα δι' αὐτῶν ἀκριβέστερον τὰ τοῦ Ξενοφ. περιγράψῃ. Καὶ οὕτω πρῶτον μὲν προστίθησιν, ὅτι τοῖς ἐν Ἀσίᾳ ὁ Λύσανδ. ἐπέστελλε φίλοις πέμπειν εἰς Λακεδ. καὶ τὸν Ἀγησίλ. στρατηγὸν αἰτεῖσθαι· ἔπειτα δὲ τὰ τοῦ ὀνείρου, καθ' ὅ τις εἶπεν αὐτῷ ἐν Αὐλίδι διανυκτερεύοντι, τῇ θεῷ θυσίαν θῦσαι, ὥσπερ καὶ ὁ Ἀγαμέμνων, ὅτε εἰς Τροίαν ἐπορεύετο, ἔθυσεν· ἔτι δὲ πρὸς τούτοις καὶ τὰ τῆς ἐκτελέσεως τῆς θυσίας διεξοδικώτερον ὑπὸ τοῦ Πλουτ. ἐκτίθεται. Εἰκὸς οὖν ἐκ τούτων εἰκάσαι τὸν Πλούτ. οὐ τῷ Ξενοφ., ὃς ἢ οὐδὲν ἢ ὀλίγα ἐγίγνωσκεν, ἠκολούθησεν, ἀλλ' ἑτέρῳ συγγραφεῖ. Καὶ τίς μὲν οὗτος οὐ μετὰ βεβαιότητος εἰπεῖν ἔχομεν. Ἐνθυμούμενοι μέντοι, ὅτι ἅπαντα σχεδὸν τὰ πρὸς τὸν Λύσανδρον κοινὸν ἔχοντα ἐκ τοῦ Ἐφόρου ὁ Πλούτ. ἀρύεται, ὡς ἤδη εἴρηται (κεφ. 20) καὶ αὖθις ἐν τοῖς ἑπομένοις ῥηθήσεται, βλέποντες δὲ καὶ τὰ ἐνταῦθα τοιαῦτα ὄντα, οὐ πόρρω τῆς ἀληθείας εἶνε δόξομεν, ἢν εἰκά-

σωμεν, ὅτι καὶ τοῦτα τοῦ Ἐφόρου ἐστί. Ταύτῃ δὲ ἀποδοτέαι τῇ δευτέρᾳ πηγῇ καὶ ὅσαι παρ' ἀμφοτέροις ἄλλαι εὕρηνται διαφοραί, οἷαί εἰσιν αἱ τοῖς αἰτίοις ἀναφερόμεναι, δι' ἃ τὰ τεθυμένα οἱ Βοιωτοὶ διέρριψαν. Παρὰ μὲν γὰρ τοῦ Ξενοφ. διδασκόμεθα (Ἑλλ. ἱστ. 3, 5, 4) ὅτι ἄνευ αἰτίου τινος *ἱππέας* οἱ Βοιωτάρχαι ἔπεμψαν, οἳ τὰ τεθυμένα διέρριψαν, παρὰ δὲ τοῦ Πλουτ., διότι τὸν ἑαυτοῦ ἐκέλευσε μάντιν ὁ Ἀγησίλ. θῦσαι, καὶ οὐ τὸν ὑπὸ τῶν Βοιωτῶν τεταγμένον. «Καὶ καταστέψας ἔλαφον, ἀναγινώσκομεν παρ' αὐτῷ (6), »ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὥσπερ εἰώθει τοῦτο »ποιεῖν ὁ ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. Ἀκούσαντες οὖν οἱ Βοιωτάρ»χαι πρὸς ὀργὴν κινηθέντες ἔπεμψαν *ὑπηρέτας* ἀπαγορεύοντες τῷ »Ἀγησιλ. μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια τῶν Βοιωτῶν.»

Τῆς τῶν Σπαρτιατῶν ἀποφάσεως τοῦ εἰς Ἀσίαν στρατὸν ἀποστεῖλαι καὶ ὁ Διόδωρος μνημονεύει καὶ ὁ Παυσανίας, ἄλλα ὅμως τούτου φέροντες αἴτια καὶ οὐ τὰ ὑπὸ τοῦ Ξενοφῶντος καὶ τοῦ Πλουτάρχου. Παρ' ἐκείνῳ μὲν γὰρ (14, 79) ἀναγινώσκεται· «Κατὰ δὲ »τὴν Ἑλλάδα Λακεδαιμόνιοι προορώμενοι τὸ μέγεθος τοῦ πρὸς Πέρ»σας πολέμου, τὸν ἕτερον τῶν βασιλέων Ἀγησίλαον ἐπέστησαν τοῖς »πράγμασι·» παρὰ τούτῳ δὲ (3, 9) «καὶ Λακεδαιμονίοις ἤρεσε δια»βῆναι ναυσὶν ἐς τὴν Ἀσίαν Ἀρταξέρξην τὸν Δαρείου αἱρήσοντας.»

Πρὶν εἰς ἄλλου προβῶμεν κεφαλαίου ἐξέτασιν, δύο συγγενεῖς βουλόμεθα ἐνταῦθα τοῦ Πλουτ. καὶ τοῦ Παυσαν. παραθέσθαι ἀφηγήσεις.

Πλούτ. 6.

Ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιστόν, αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτὸν «Ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν οὐδεὶς τῆς Ἑλλάδος ὁμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς ἢ πρότερον Ἀγαμέμνων καὶ σὺ νῦν μετ' ἐκεῖνον, ἐννοεῖς δήπουδεν· ἐπεὶ δὲ τῶν μὲν αὐτῶν ἄρχεις ἐκείνῳ, τοῖς δὲ αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον,

Παυσαν 3, 9.

Ἀγησίλαος δέ, ὡς αὐτῷ τά τε οἴκοθεν καὶ παρὰ τῶν συμμάχων τὸ στράτευμα ἤθροιστο καὶ ἅμα αἱ νῆες εὐπρεπεῖς ἦσαν ἀφίκετο εἰς Αὐλίδα τῇ Ἀρτίμιθι θύσων, ὅτι καὶ Ἀγαμέμνων ἐνταῦθα ἱλασάμενος τὴν θεὸν τὸν εἰς Τροίαν στόλον ἤγαγεν. Ἠξίου δ' ἄρα ὁ Ἀγησίλαος πόλεώς τε εὐδαιμονεστέρας ἢ Ἀγαμέμνων βασιλεὺς εἶναι, καὶ ἄρχειν τῆς Ἑλλάδος πάσης ὁμοίως ἐκείνῳ, τό τε κατόρθωμα ἐπιφανέστερον ἔσεσθαι, βασιλέα κρατή-

εἰκός ἐστι καὶ θῦσαί σε τῇ θεῷ θυσίαν, ἥν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν.»

σαντα Ἀρταξέρξην εὐδαιμονίαν κτήσασθαι τὴν Περσῶν ἢ ἀρχὴν καθελεῖν τὴν Πριάμου.

Κεφ. 8. Ταὐτά ἄν τις καὶ ἐνταῦθα εἴποι, ἅπερ ἐν τῷ ἤδη ἐξετασθέντι κεφ., ὅτι ἐκ τοῦ Ξενοφ. καὶ τοῦ Ἐφόρου τὰ ἐν τῷ προκειμένῳ ἱστορούμενα ἠρύσατο ὁ Πλούταρχος. Τοῦ γὰρ ἀποφθέγματος «Νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀπιόντες τὸν ἐμὸν κρεωδέτην,» ἐξαιρουμένου, οὗτινος ἄγνωστος ἡμῖν διατελεῖ ἡ πηγή, ἀνάγεται τὸ μὲν «Ἀχθόμενος οὖν ὁ Λύσανδρος—ἤγαγε πρὸς Ἀγησίλαον» τῷ Ξενοφ. (Ἑλλ. ἱστορ. 3, 4, 9: Βαρέως δὲ φέρων—καὶ ἱππεῖς ὡς διακοσίους), τὸ δὲ ἕτερον, ἐν ᾧ περὶ τῶν τοῦ Λυσάνδρου σχεδίων τοῦ ἀνατρέψαι τὴν τῆς Σπάρτης πολιτείαν λόγος γίνεται, τῷ Ἐφόρῳ, ὃν ἐν βίῳ Λυσάνδρου (20) διαρρήδην ὁ Πλούταρχος φέρει «Ἣν μὲρ γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν περιγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.» Αὕτη δὲ ἀκολουθεῖ ἐν κεφ. 25 ἡ ἀφήγησις, ἔνθα αὖθις ὑπὸ τοῦ βιογράφου παρατίθεται ὁ Ἔφορος. Παρατηρητέα δὲ καὶ τάδε· ἐν τῷ τοῦ Λυσάνδρου καὶ τοῦ Ἀγησιλάου διαλόγῳ μικρά τις εὕρηται τῶν λέξεων διαφορὰ παρὰ Ξενοφ. καὶ Πλουτ. Παρ' ἐκείνῳ μὲν γὰρ φέρεται «καὶ ὁ Λύσανδρος εἶπεν, Ἀλλ' ἴσως, ἔφη, καὶ μᾶλλον εἰκότα σὺ *ποιεῖς* ἢ ἐγὼ *ἔπραττον*,» παρὰ δὲ τούτῳ «Καὶ ὁ Λύσανδρος» Ἀλλ' ἴσως ἔφη, ταῦτα *σοί λέλεκται* βέλτιον ἢ ἐμοὶ *πέπρακται*» (καὶ ἐν βίῳ Λυσ. 23· «Ἀλλ' ἴσως μέν, ὦ Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται). Τοῦτο μέν τοι τῇ τοῦ Πλουτάρχου ἐλευθερίᾳ ἀποδοτέον οἶμαι, ἣν πολλάκις αὐτὸς ἑαυτῷ παρέχει τοῦ μικρὸν τὰς τῶν πηγῶν λέξεις κατὰ τὴν ἰδίαν αὐτοῦ μεταβάλλειν γνώμην ἢ σκοπόν, ὡς καὶ ἐν τοῖς ἑπομένοις αὖθις ἔσται ὁ λόγος. Οὕτως οὖν ἡγούμενος καὶ ἐνταῦθα μείζονα τὴν ἀντίθεσιν τοῦ *λέγειν* καὶ *ποιεῖν* καὶ ἰσχυροτέραν εἶναι, ταύτας προὐτίμησε τὰς λέξεις τῶν παρὰ Ξενοφῶντι *ποιεῖν* καὶ *πράττειν*, ὡς εἰκότως Breitenbach παρατηρεῖ.[1]

Κεφ. 3. Τὰ παρὰ τοῦ Ξενοφ. ἐν τῷ προκειμένῳ παρειλημμένα κεφ·

[1] **Breitenbach** ἐν τῇ ἐκδόσει τῆς Ἑλλ. ἱστορ. τοῦ Ξενοφ. ἐν 3, 4, 9 σελ. 50, ἐν ταῖς παρατηρήσεσι: **Plutarchus, opinor, ratus aptius sibi opponi** λέγειν **et** πράττειν, **inspiciens Xenophontis locum, narrationem suo arbitrio conformavit.**

τελευταῖα μὲν τῇ τάξει, πρῶτα δὲ τῇ ἀξίᾳ ἐστίν, ὡς ἐμοί γε δοκεῖ. Ἐάν τις γὰρ ταῦτα ἐπιμελῶς διεξέλθῃ, ῥᾳδίως, οἶμαι, πεισθήσεται, ὅτι τὸ οὐσιῶδες ἀποτελεῖ μέρος, προτασσομένων δίκην προοιμίου τῶν λοιπῶν. Τὰ περὶ τῆς νοθείας γὰρ τοῦ Λεωτυχίδου μέλλων ὁ Πλούταρχος ἱστορῆσαι καὶ γνωστὸν βουλόμενος τοῖς ἀναγινώσκουσι καταστῆσαι, πῶς αὕτη προῆλθεν, οὐ παρὰ Ξενοφῶντι δὲ τοῦτο εὑρίσκων, Δούριδι τῷ Σαμίῳ καὶ ἄλλῳ τινὶ κατέφυγεν ἱστορικῷ, παρ' οἷς τὰ τῷ σκοπῷ αὐτοῦ ἐπιτήδεια εὕρητο. Καὶ ὅτι παρὰ τοῦ Δούριδος τὰ περὶ τοῦ Ἀλκιβιάδου παρείληφε καὶ τῆς τοῦ Ἄγιδος γυναικός, οὐδενὸς δεῖται λόγου· διαρρήδην γὰρ αὐτὸς λέγει τοῦτο· οὐ ῥᾴδιον μέντοι ὡρισμένως εἰπεῖν, πόθεν τὸ δεύτερον τοῦ κεφ. ἐστὶ μέρος, ἐν ᾧ τὸ πῶς ὁ Ἄγις ἑαυτὸν πρὸς τὸν παῖδα παρεῖχε φέρεται, οὐδενὸς ὑπάρχοντος, εἰς εὕρεσιν τούτου ἡμᾶς ὁδηγοῦντος. Ἐὰν δ' ὅμως ἐνθυμηθῶμεν, ἅμα μὲν ὅτι τὸ αὐτὸ δι' ἔτι μακροτέρων ἐν βίῳ Λυσάνδρου 22 ἱστορεῖται, ἅμα δὲ ὅτι τὸν Ἔφορον τὰ πλεῖστα τοῦ βίου ἐκείνου πηγὴν ἔχει, πολλάκις καὶ τοῦ ὀνόματος αὐτοῦ ὑπὸ τοῦ Πλουτ. παρατιθεμένου (ἐν κεφ. 17, 20, 25, 27, 30),[1] εἰκάσαιμεν ἄν, οἶμαι, καὶ ταῦτα τῷ Ἐφόρῳ ἀνάγεσθαι.

Παραπλησία περὶ τούτων καὶ παρὰ Παυσανίᾳ εὕρητε ἀφήγησις ἐν 3, 8, 3· ἐὰν δὲ καὶ αὐτὴ τὸν Ἔφορον πηγὴν ἔχῃ, οὐκ ἔχω ἀποφήνασθαι, ἐκ διαφορῶν εἰς τοῦτο κωλυόμενος, αἵ περ ἔν τισι μέρεσιν ὑπάρχουσι. Διό περ χαίρειν ἐῶν πᾶσαν περὶ τούτου ἀπόφανσιν, τῷ παραθέσθαι μόνον τὰ συγγενῆ ταῦτα ἀρκοῦμαι χωρία.

Πλούτ. Ἀγησ. 3.

Ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ, νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον.

κα' Λύσανδρος 22..

Ὁ δὲ Ἄγις, ὥς φασι, *χρόνον μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν ὡς οὐ*

Παυσανίας 3, 8, 3.

Προπέτειαν δὲ τὴν Ἀρίστωνος εἰς Δημάρατον καὶ Ἄγις εἰς τὸν παῖδα ἔσχε Λεωτυχίδην, καί οἱ κατά τινα οὐκ ἀγαθὸν δαίμονα *ἐπῆλθεν ἐς ἐπήκοον τῶν ἐφόρων εἰπεῖν* ὡς οὐχ αὐτοῦ νομίζοι Λεωτυχίδην. Ἐπέλαβε μέν τοι καὶ Ἄγιν μετάνοια ὕστερον καί, ἔφερον γὰρ τηνικαῦτα οἴκαδε ἐξ Ἀρκαδίας αὐτὸν νοσοῦντα, ὡς ἐγένετο ἐν Ἡραίᾳ, καὶ τὸ πλῆθος μάρτυρας

[1] Παρβλ. Haug ἐν σελ. 56.

κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν παρά γε τὸν λοιπὸν χρόνον. Ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὐτοῦ τὸν Λεωτυχίδην, καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους ἀπέθανεν.

ἐποιεῖτο ἦ μὴν Λεωτυχίδην ἑαυτοῦ παῖδα ἡγεῖσθαι, καὶ σφίσι σὺν ἱκεσίᾳ τε καὶ δακρύοις ἐπέσκηπτε πρὸς Λακεδαιμονίους ταῦτα ἀπαγγέλλειν.

Αἱ συγγενεῖς τελευταῖον ἀφηγήσεις τοῖς ἐν τέλει τοῦ 3 κεφ. ἱστορουμένοις εὕρηνται ἐν τῇ Ἑλλ. ἱστορ. 3, 3, 3 καὶ ἐν τῷ Ἐγκωμίῳ 1, 5. Πρὶν δὲ τὰ τοῦ παρόντος περάνω κεφ. τάδ' ἔτι παρατηρῆσαι βούλομαι. Ἐν τῷ μέσῳ τοῦ κεφ. φέρεται «Διὰ ταῦτα μὲν τῆς Λακεδ. Ἀλκιβιάδης ὑπεξῆλθε φοβηθεὶς τὸν Ἆγιν.» Ταῦτα μέν τοι ἐναντία τοῖς τε παρὰ Θουκυδ. (8, 11 καὶ ἑξῆς) ἐστι, καὶ τοῖς ὑπ' αὐτοῦ τοῦ Πλουτ. ἐν βίῳ Ἀλκιβιάδου 23 ἱστορουμένοις. Ἀναγινώσκεται γὰρ παρ' ἐκείνῳ μὲν τάδε, «καὶ ὁ μὲν (Ἀλκιβιάδης) πείσας »τούς τε ἄλλους ἐφόρους καὶ Ἔνδιον (μικρὸν ἔμπροσθεν λέγει·» ἐτύγ»χανε γὰρ τῷ Ἄγιδι αὐτὸς διάφορος ὤν·» καὶ 45 ἦν γὰρ καὶ τῷ »Ἄγιδι ἐχθρὸς καὶ ἄλλως ἄπιστος ἐφαίνετο») ἀνήγετο ταῖς πέντε »ναυσὶ μετὰ Χαλκιδέως τοῦ Λακεδαιμονίου καὶ διὰ τάχους τὸν πλοῦν »ἐποιοῦντο.» Μετὰ μικρὸν δ' ἔφυγεν ἐκεῖθεν πρὸς Τισσαφέρνην. Ὁ Πλούτ. δὲ ἐν βίῳ Ἀλκιβιάδου (35) τὰ ἑξῆς φησι «Ἐκπλεύσας δὲ »καὶ αὐτὸς (Ἀλκιβιάδης) ἀπέστησεν ὀλίγον δεῖν ἅπασαν Ἰωνίαν καὶ »πολλὰ συνὼν τοῖς τῶν Λακεδαιμονίων στρατηγοῖς ἔβλαπτε τοὺς Ἀ»θηναίους. Ὁ δὲ Ἆγις ἐχθρὸς μὲν ὑπῆρχεν αὐτῷ διὰ τὴν γυναῖκα »κακῶς πεπονθώς, ἤχθετο δὲ καὶ τῇ δόξῃ· τὰ γὰρ πλεῖστα γίγνε»σθαι καὶ προχωρεῖν δι' Ἀλκιβιάδου λόγος ἦν.» Πῶς τοίνυν τοιαύτῃ περιέπεσεν ὁ βιογράφος ἀντιλογίᾳ οὐκ εἰπεῖν δυνάμεθα. Μνείαν περὶ τῆς ἐν Σπάρτῃ διαμονῆς τοῦ Ἀλκιβιάδου ποιεῖται καὶ Ἰουστῖνος 5, 2, 43.

Κεφ. 15. Τὴν ἐξ Ἀσίας τοῦ Ἀγησιλάου ἀνάκλησιν τῶν ἐφόρων, ὑπὸ σφοδροῦ ἀναγκασθέντων Ἑλληνικοῦ πολέμου, ἀναγινώσκομεν ἐν τῷ δε τῷ κεφ. Τοῦτον δὲ τὸν πρὸς τοὺς Σπαρτιάτας πόλεμον διεγεῖραι ὁ μέγας κατώρθωσε βασιλεύς, πολὺ εἰς Ἑλλάδα πέμψας ἀρ-

γύριον καὶ τοῖς δημαγωγοῖς αὐτὸ καὶ τοῖς τῶν Λακεδαιμονίων ἐχθροῖς διαδούς. Καὶ τούτου τοῦ κεφ. τὸ πρῶτον μέρος, ἐν ᾧ αἱ ἀποκαταστάσεις τῶν ἐν Ἀσίᾳ ἱστοροῦνται πολιτειῶν, ἐν τῷ Ἐγκωμ. τοῦ Ξενοφ. (1, 35. 37) τὸ παράλληλον ἔχει, ᾧδε ἔχον « (35) Ἀπὸ »πάντων γὰρ τῶν ἐθνῶν ἐπρεσβεύοντο περὶ φιλίας πολλοὶ δὲ καὶ ἀφί»σταντο πρὸς αὐτόν, ὀρεγόμενοι τῆς ἐλευθερίας·» καὶ 37 «ἐποίησεν »ὥστε ἄνευ φυγῆς καὶ θανάτου ἕως αὐτὸς παρῆν ὁμονόως πολιτευο»μένας καὶ εὐδαίμονας τὰς πόλεις διατελέσαι,» Πλὴν δὲ καὶ ἄλλων βραχειῶν ἐν ἀρχῇ καὶ ἐν μέσῳ ἀφηγήσεων, ὧν παρὰ Ξενοφ. εὕρηνται αἱ πηγαὶ (περὶ τῆς παρασκευῆς πρὸς πορείαν εἰς τὰ ἔνδον τῆς Ἀσίας Ἑλλ. ἱστορ. 4, 1, 42, περὶ τῆς τοῦ Ἐπικυδίδου ἀποστολῆς ὑπὸ τῶν Ἐφόρων πρὸς τὸν Ἀγησίλαον 4, 2, 2, τῆς μεγάλης τελευταῖον ὑπακοῆς τοῦ νικηφόρου βασιλέως ταῖς τῶν ἐφόρων διαταγαῖς Ἐγκώμ. 1, 36—37 καὶ Ἑλλ. ἱστορ 4, 2, 3), τοιαῦτά ἐστι τὰ λοιπά, ὥστε ῥᾳδίως ἄν τις διίδοι τὸν βιογράφον ταῦτα οὐκ ἐκ μιᾶς ἀρυσάμενον πηγῆς, ἀλλ' ἐκ πολλῶν συναγαγόντα. Εἰ δὲ καὶ τῷ Ἐφόρῳ, τινὰ καὶ τῷ Θεοπόμπῳ ἀποδοτέα, οὐκ εὔκολον ῥηθῆναι, οὐδενὸς τοιούτου ἴχνους οὔτε παρὰ Πλουτ. ὑπάρχοντος οὔτε παρὰ Διοδώρῳ, ταύτην δυναμένου ὑποστηρίξαι τὴν ὑπόθεσιν· διὸ ἀναγκαῖον πάσης ἀπέχεσθαι ἀποφάνσεως. Παραπλησίως δὲ τῷ Πλουτάρχῳ καί μόνον οὐκ αὐτοῖς ῥήμασιν ἀφηγεῖται καὶ ὁ Κορνηλ. Νέπως ἐν βίῳ Ἀγησιλ. 4, 1 τὰ τῆς ὑπακοῆς τοῦ Ἀγησιλάου «Hic cum jam animo meditaretur proficisci in Persas et ipsum regem adoriri, nuntius ei domo venit ephororum missu bellum Athenieuses et Boeotos indixisse Lacedaemoniis ; quare venire ne dubitaret. In hoc non minus ejus pietas suspicienda est quam virtus bellica: qui cum victori praeesset exercitui maximamque haberet fiduciam regni Persarum potiundi, tanta modestia dicto audiens fuit jussis absentium magistratuum, ut si privatus in comitio esset Spartae.

Κεφ. 21. Τὸ πρῶτον ἐνταῦθα ἥμισυ μέρος «Μέγιστον οὖν δυνάμενος—ἡττημένοι δ' ὕστερον ἀνεγράφησαν,» ἐν ᾧ τις εἰς Κόρινθον τοῦ Ἀγησιλάου στρατεία ἱστορεῖται, τῇ Ἑλλητ. ἱστορ. τοῦ Ξενοφ. 4, 4, 19 καὶ 5, 1 παραβληθῆναι δύναται, ἀγνώστων οὐσῶν τῶν τοῦ δευτέρου πηγῶν, ᾧ ἀποφθέγματα δύο Καλλιππίδου τινος τραγικοῦ ὑποκριτοῦ καὶ ἑτέρου Μενεκράτους ἰατροῦ φέρεται. Καὶ τούτων μὲν

τοῦ πρώτου καὶ ὁ Ξενοφ. ἐν τῷ συμποσίῳ 3, 11 μνημονεύει ταῦτα περὶ αὐτοῦ λέγων «Σύ γε μὴν δῆλον, ἔφη ὁ Λύκων, πρὸς τὸν Φίλιπ»πον, ὅτι ἐπὶ τὸ γελοποιεῖν μέγα φρονεῖς. Δικαιότερόν γε, ἔφη, οἴο»μαι ἢ Καλλιππίδης ὁ ὑποκριτής, ὃς ὑπερσεμνύνεται, ὅτι δύναται »πολλοὺς κλαίοντας καθίζειν.» Πρὸς δ' ἔτι καὶ ἐν 'Αλκιβιάδου βίῳ ὧδε ὁ Πλούτ. ἱστορεῖ. « (32) Ἃ δὲ Δοῦρις ὁ Σάμιος 'Αλκιβιάδου »φάσκων ἀπόγονος εἶναι προστίθησι τούτοις αὐλεῖν μέν... κελεύειν δὲ »Καλλιππίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτήν....» Εἰ οὖν τὰ ἐν τῷ ἡμετέρῳ ἀναγινωσκόμενα βίῳ τῷ Δούριδι ἀνακτέα, οὐκ ἔχομεν εἰπεῖν, οὐ μέν τοι ἀπίθανα ταῦτα εἶναι οἰόμεθα, ἐκ τοῦ 3. εἰδότες κεφ. ὅτι καὶ τοῦτον συνεβουλεύετο ὁ βιογράφος τὸν ἱστορικὸν τὸν προκείμενον συγγράφων βίον. Περὶ Μενεκράτους δέ, τοῦ Δία ἑαυτὸν ἐπικαλοῦντος καὶ πρὸς τὸν 'Αγησίλαον γράψαντος «Μενεκράτης Ζεὺς βασιλεῖ 'Αγησιλάῳ χαίρειν» ἡ δε παρ' 'Αθηναίῳ 7, 289, β—f εὕρηται ἡ ἀφήγησις «Ταῦτα νὴ τὴν 'Αθηνᾶν οὐδ' ἂν Μενεκράτης ὁ Συρα»κούσιος ἐξωγκώσατο ὁ Ζεὺς ἐπικαλούμενος, ὃς ἐφρόνει μέγα ὡς μόνος »αἴτιος τοῦ ζῆν τοῖς ἀνθρώποις γενόμενος διὰ τῆς ἑαυτοῦ ἰατρικῆς..» Καὶ οἱ ταῦτα ἱστοροῦντες δὲ ἐν τοῖς ἑξῆς παρατίθενται, ὡς ..«μνημονεύει δ' αὐτῶν Ἔφιππος...» καὶ «ὡς ἱστορεῖ Βάτων ἐν τοῖς περὶ τῶν ἐν 'Εφέσῳ τυράννων.» Ὡς τρίτος δὲ φέρεται ἱστορικὸς καὶ Ἡγίσανδρος, ὃς καὶ ἐπιστολῆς τινος μνημονεύει, ἥ περ παραπλησίως τῇ τοῦ 'Αγησιλάου ἄρχεται καὶ ὑπὸ Μενεκράτους Φιλίππῳ γέγραπται τῷ τῶν Μακεδόνων βασιλεῖ. Ἔχει δ' οὕτη ὡς ἑξῆς. «Μενεκράτης »Ζεὺς Φιλίππῳ χαίρειν· καὶ σὺ μὲν ὑγιαίνοντας δύνασαι, ὅταν βουλη»θῇς, ἀπολλύναι, ἐγὼ δὲ τοὺς νοσοῦντας σώζειν, καὶ τοὺς εὐρώστους »ἀνόσους, οἳ ἂν ἐμοὶ πείθωνται, παρέχειν μέχρι γήρατος ζῶντας· »τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ ἀεὶ μέλλον»τες ἔσεσθαι. Ζεὺς γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω.» Πρὸς ὅν ὡς μελαγ»χολῶντα ἐπέστελλεν ὁ Φίλιππος «Φίλιππος Μενεκράτει ὑγιαίνειν·» »παραπλησίως δ' ἐπέστελλε καὶ 'Αρχιδάμῳ τῷ Λακεδαιμονίων βα»σιλεῖ καὶ τοῖς ἄλλοις ὅσοις ἔγραφεν, οὐκ ἀπεχόμενος τοῦ Διός.» Εἰ οὖν τὰ ὑπ' αὐτοῦ ἱστορούμενα ὁ Πλούτ. παρά τινος τῶν ὑπὸ τοῦ 'Αθηναίου μνημονευομένων ἱστορικῶν παρείληφε· καὶ εἰ εἷς τούτων, οἷς ἔγραφε, κατὰ τὸν 'Αθήναιον (καὶ τοῖς ἄλλοις ὅσοις ἔγραφε) καὶ ὁ 'Αγησίλαος ἦν, ἢ ὁ βιογράφος τὸ τοῦ 'Αχιδάμου ὄνομα εἰς 'Αγησίλαον μετέτρεψε, ταῦτα οὐ γινώσκομεν. Περὶ τῶν ἐν ἀρχῇ τοῦ ἡμε-

τέρου κεφαλ. καὶ ὁ Διόδωρος ἱστορεῖ καὶ ὁ Παυσανίας διὰ βραχέων ὁ μὲν ἐν 14, 97, ὁ δὲ ἐν 3, 10, 10. Οὐδὲν δ' ἕτερόν ἐστιν ὅσα παρὰ Κορν. Νέπ. φέρεται ἐν βίῳ 'Αγησιλ. 5, 34 ἢ ἀντιγραφὴ τῶν παρὰ Ξενοφ. ἐν 'Εγκωμ. 7, 4 καὶ 6 ἀναγινωσκομένων.

Κεφ. 23. Καὶ τοῦ προκειμένου τὸ πλεῖον παρὰ Ξενοφ. τὴν ἀρχὴν ἔχει. Πλήν τινων γάρ, οἷον τῶν περὶ εἰρήνης λόγων, οὓς οἱ τῶν Λακεδαιμονίων πρέσβεις πρὸς Τιρίβαζον ἐποιοῦντο, καὶ τοῦ ἀποφθέγματος «οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς Λακεδαιμονίους μηδίζειν ὁ 'Αγησίλαος ἀπεκρίνατο μᾶλλον τοὺς Μήδους λακωνίζειν,» καὶ ἄλλων τινῶν μικροῦ ἀξίων πάντα τὰ λοιπά, τὰ τὸν πυρῆνα τοῦ κεφ. συνιστῶντα, τῷ Ξενοφῶντι ἀνάγεται. Οὕτως οὖν ἡ μὲν ἀρχὴ τῇ 'Ελλην. ἱστορ. 4, 8, 12 συνᾴδει, τὸ δὲ μέσον, ἔνθα περὶ τῆς τοῦ Φοιβίδου καταλήψεως τῆς Καδμείας ὁ λόγος ἐστί, παρὰ τῆς 'Ελλην. ἱστορ. 5, 7, 25 καὶ 32 παρείληπται, τῶν δ' ἐν τέλει ἱστορουμένων τὰ μὲν εὕρηται ἐν τῷ 'Εγκωμ. 'Αγησιλ. 8, 3, τὰ δὲ ἐν τῇ ἑλλην. ἱστορ. 5, 2, 35—36. Ἔν τισι δ' ὅμως δοκεῖ ὁ βιογράφος καὶ τὸν Ἔφορον συμβεβουλεῦσθαι, ὅπερ ἐκ τούτου εἰκάζω, ὅτι τὸ τοῦ Πλουτ. «εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες» καὶ ἐν τῷ ἑπομένῳ κεφ. (24) «Ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια—τὸ πεπραγμμένον,» καὶ τὸ ἐν τέλει τοῦ κεφ. ὄνομα τοῦ 'Αρχίου, οὐ παρὰ Ξενοφ. εὕρηνται («τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας 'Αρχίαν καὶ Λεοντίδαν ἀποδεῖξαι κυρίους,» τοῦ Ξενοφ. ὧδε λέγοντος «καὶ ἐκεῖνος μὲν κατεψηφίσθη καὶ ἀποθνήσκει· οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν καὶ τοῖς Λακεδαιμονίοις.....») Ὅτι δ' ἐκ τοῦ Ξενοφ. πάντα ἤρυσται τὰ οὐσιώδη, ἅπερ τῇ τῆς Καδμείας καταλήψει ἀποδίδοται, τοῦτο μὲν ἐκ τῆς παραπλησίας παρ' ἀμφοτέροις καταδείκνυται ἀφηγήσεως τούτων·

(Πλούτ. 'Επεὶ γὰρ Φοιβίδας.... χαλεπῶς δ' ἔφερον οἱ Σπαρτιᾶται, καὶ μάλιστα οἱ διαφερόμενοι τῷ 'Αγησιλάῳ μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ Φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν,.... οὐκ ὤκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν ὅτι δεῖ τὴν πρᾶξιν αὐτήν, εἴ τι χρήσιμον ἔχει, σκοπεῖν· τὰ γὰρ συμφέροντα τῇ Λα-

(Ξενοφ. ἑλλην. ἱστορ. 5, 2, 32. «Εὗρε δ' ἐκεῖ τοὺς μὲν 'Εφόρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ Φοιβίδα, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· ὁ μέν τοι 'Αγησίλαος ἔλεγεν, ὅτι, εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη ζημιοῦσθαι· εἰ δὲ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι τὰ τοιαῦτα αὐ-

κεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ.») τοσχεδιάζειν· αὐτὸ οὖν τοῦτο, ἔφη, προσήκει σκοπεῖν, πότερον ἀγαθὰ ἢ κακά ἐστι τὰ πεπραγμένα.»)

τοῦτο δὲ ὅτι κατὰ διάφορον αὐτὰ ἱστορεῖ τρόπον ὁ Διόδωρος, παρ' ᾧ εὕρηται ἐν 15, 20 «διόπερ τοῖς ἡγεμόσιν οἱ Σπαρτιᾶται παρήγγελ-»λον ἐν ἀπορρήτοις, ἵν', ἐάν ποτε καιρὸν λάβωσι, καταλάβωνται τὴν »Καδμείαν. Τοιαύτης δὲ γενομένης παραγγελίας Φοιβίδας ὁ Σπαρτιά-»της..... κατελάβετο τὴν Καδμείαν.»

Αἴσχιστον ἀποκαλεῖ ὁ Πλούταρχος καὶ παρανομώτατον ὅτι τὸν Ἀνταλκίδαν οἱ Λακεδαιμόνιοι ἔπεμψαν πρὸς Τιρίβαζον περὶ εἰρήνης καὶ εἷς τῶν ὅρων ἦν τοὺς τὴν Ἀσίαν οἰκοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν ὁ Ἀγησίλας, τῷ βασιλεῖ παραδοῦναι. Ταύτας γράφων ὁ Πλούταρχος τὰς λέξεις εἶχε τοὺς λόγους τοῦ Πλάτωνος πρὸ αὐτοῦ, οὓς ἐν Μενεξένῳ 17. 245, Δ εὑρίσκομεν; ἀναγινώσκεται γὰρ ἐκεῖ, «ὅμως δ' οὖν ἐμονώθημεν πάλιν διὰ τὸ μὴ ἐθέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσασθαι Ἕλληνας βαρβάρους ἐκδόντες.» Ἐπεὶ δὲ τὰ τῆς εἰρήνης οὐ παραπλησίως ὑπό τε τοῦ Πλουτάρχου ἱστορεῖται καὶ τοῦ Ξενοφῶντος, μακρότερον βούλομαι περὶ τούτου λόγον ποιήσασθαι. Ἐκ τῆς Ἑλλην. τοῦ Ξενοφ. ἱστορ. (4, 8, 15) διδασκόμεθα, ὅτι ἀτελὴς ἡ εἰρήνη, ὑπὲρ ἧς ὁ Ἀνταλκίδας ἐπέμφθη πρὸς Τιρίβαζον, ἐγένετο, ἅτε οὐ βουληθέντων τῶν τῶν ἄλλων ἑλληνικῶν πόλεων πρέσβεων τοὺς ὑπὸ τοῦ Ἀνταλκίδου προταθέντας ἀποδέξασθαι ὅρους. «Τῷ μὲν δὴ Τιριβάζῳ» ἀναγινώσκεται παρὰ Ξενοφῶντι «ἀκούοντι »ἰσχυρῶς ἤρεσκον οἱ τοῦ Ἀνταλκίδου λόγοι· τοῖς δὲ ἐναντίοις (ἢ τοῖς »δὲ τοὐναντίον, ὡς ὁ Breitenbach ἐν τῇ ἐκδόσει τῆς Ἑλλην. ἱστορ. »τοῦ Ξεν. 4, 8, 15, σημ. διορθοῖ) λόγοι ταῦτ' ἦν. Οἵ τε γὰρ Ἀθη-»ναῖοι ἐφοβοῦντο....., οἵ τε Θηβαῖοι...., οἵ τε Ἀργεῖοι.... Αὕτη μὲν »ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον ἕκαστος οἴκαδε.» Ὁ Πλούταρχος μέν τοι ἀφηγεῖται «....τοῖς δὲ μὴ βουλομένοις δέχεσθαι »τὴν εἰρήνην ἀπειλῶν καὶ καταγγέλλων πόλεμον ἠνάγκασεν ἐμμένειν »ἅπαντας, οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα δὲ τοὺς Θηβαίους, ὅπως »αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες ἀσθενέστεροι γένωνται,» Ἀλλὰ ταῦθ' ὅμως ἔτει 387]6 συνέβη, καθάπερ παρὰ Ξενοφ. (Ἑλλην. ἱστορ. 5, 1, 29—34) μανθάνομεν, ὅτε καὶ δεύτερον ὁ Ἀνταλκίδας ἐπρεβεύσατο περὶ εἰρήνης πρὸς τὸν Τιρίβαζον. Τότε, ἱστορεῖ ὁ Ξενοφ. «οἱ μὲν

»Ἀθηναῖοι.....ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης· οἱ δὲ Λακεδαιμόνιοι..· »χαλεπῶς ἔφερον τῷ πολέμῳ. Οἵ γε μὴν Ἀργεῖοι..... εἰς τὴν εἰρήνην »πρόθυμοι ἦσαν. Ὥστε ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος (30) παρεῖναι »τοὺς βουλομένους ὑπακοῦσαι, ἣν βασιλεὺς εἰρήνην καταπέμποι, ταχέως πάντες παρεγένοντο.» Καὶ κατωτέρω φησί· «Καὶ οἱ μὲν ἄλλοι »πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα, οἱ δὲ Θηβαῖοι ἠξίουν ὑπὲρ πάν»των Βοιωτῶν ὀμνύναι.» Φοβηθέντες μέντοι τελευταῖον καὶ οὗτοι ὑπὸ τοῦ Ἀγησιλάου, πόλεμον αὐτοῖς ἀπειλοῦντος κηρύξαι, ἀπεδέξαντο τὴν εἰρήνην ἐφ' οἷς ὅροις καὶ οἱ ἄλλοι πρέσβεις τῶν Ἑλλήνων.

Πρόδηλον οὖν ἐκ τῶν ἐκτεθέντων καθίσταται, ὅτι οὕτως ἀνακριβῶς ὁ βιογράφος καὶ ἀσαφῶς ἀφηγεῖται τὰ τῆς εἰρήνης, ὥστ' οὐ ῥᾴδιον διαγνῶναι τί τὸ ὀρθόν. Οὐδεμίαν γὰρ περὶ δευτέρας τοῦ Ἀνταλκίδου πρὸς τὸν Τιρίβαζον ἀποστολῆς μνείαν ποιούμενος, περὶ ἧς διὰ μακρῶν ὁ Ξενοφῶν λόγον ποιεῖται, ἁπλῶς φησι τότε ἤδη τὴν εἰρήνην γενέσθαι. Ἵνα δὲ ταῦτα ἐξηγηθῇ δύο οἶμαι ὑποθέσθαι δεῖν· ἤτοι ἄλλῳ ἐν τούτοις ὁ Πλούταρχος ἠκολούθησεν ἱστορικῷ καὶ οὐ τῷ Ξενοφῶντι, ἢ ἀμφοτέρας τοῦ Ἀνταλκίδου τὰς ἀποστολὰς εἰς μίαν συνεχώνευσεν, ὡς καὶ πάντα γενικῶς ἅπερ διὰ μακρῶν ἀφηγεῖται ὁ Ξενοφῶν. Ταύτῃ δ', οἶμαι, τῇ συγχωνεύσει ἀποδοτέον καὶ τὸ ἀσύμφωνον ἀφηγήσεών τινων, αἵ περ παρὰ τῷ ἱστορικῷ καὶ τῷ βιογράφῳ ἀπαντᾷ, ἐν αἷς καὶ ἡ ἑξῆς· κατὰ τοῦτον μὲν γὰρ ὁ βασιλεὺς τῶν Περσῶν πολέμῳ τοῖς μὴ βουλομένοις τὴν εἰρήνην δέχεσθαι ἀπειλεῖ, κατ' ἐκεῖνον δὲ ὁ Ἀγησίλαος. Ἔστι δ' ὅτε καὶ ἀντιλογίαις διὰ ταῦτα ὁ Πλούταρχος περιπίπτει· πῶς γὰρ οὐκ αὐτὸς ἑαυτῷ ἀντιλέγει ἐνταῦθα μὲν ἱστορῶν ὅτι ὁ Ἀγησίλαος πολέμῳ ἠπείλει τοῖς μὴ τὴν εἰρήνην βουλομένοις δέχεσθαι, ἀρχόμενος δὲ τοῦ κεφ. τάδε «Ὅθεν »ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. Ὁ »γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν.....;» Οὐδὲ τοῦτο θαυμάζειν χρή, ὅτι τὰ ἐν ταῖς πηγαῖς ἱστορούμενα συντέμνει τὰ πολλὰ ὁ βιογράφος· τοσαῦτα γὰρ μόνον παρελάμβανεν ἐκ τούτων, ὅσα τῷ ἥρωι, οὗ περ τὸν βίον περιέγραφε, κοινὸν εἶχεν, οὐ πολλῷ τῶν ἄλλων φροντίζων ἱστορικῶν ἔργων. Καὶ ἐν τούτῳ οὖν, ἐπεὶ ἐν τῷ χρόνῳ, τῷ μεταξὺ τῶν δύο τοῦ Ἀνταλκίδου ἀποστολῶν, οὐ πολλὰ τοιαῦτα συνέβη, ὥστε ἐνεργὸν τὸν Ἀγησίλαον μέρος λαβεῖν πολλὰ ἠδύνατο εὐκόλως παραλιπεῖν. Τούτων δὲ τῶν τῇ εἰρήνῃ ἀναφερομένων καὶ ὁ Διόδωρος μνημονεύει ἐν 14, 110, δς

μίαν τοῦ Ἀνταλκίδου γινώσκει ἀποστολήν, ἐκείνην, καθ' ἣν ἐγένετο ἡ εἰρήνη. Εἰ δὲ διὰ τοῦτ' ἀποδέχεσθαι δεῖ τὸν Πλούτ. τῇ αὐτῇ τῷ Διοδώρῳ ἠκολουθηκέναι πηγῇ, οὐ ῥᾴδιον μὲν ἀποφήνασθαι, οὐ μέν τοι πιθανὰ ἔμοιγε ταῦτα δοκεῖ· τὰ γὰρ εὐθὺς τούτοις ἑπόμενα, τὰ τῆς καταλήψεως τῆς Καδμείας, παρὰ τῷ Ξενοφῶντι τὴν ἀρχὴν ἔχει, ὡς μικρὸν πρόσθεν εἴρηταί μοι. Τὰ περὶ Φοιβίδου εὕρηται καὶ παρὰ Κορν. Νέπωτι ἐν βίῳ Πελοπίδου 1, 2, ἱστορούμενα, ὡς καὶ παρὰ Πολυβίῳ 4, 27, 4 τάδε λέγοντι «Λακεδαιμόνιοι τὴν Καδμείαν Φοιβίδου παρασπονδήσαντος, τὸν μὲν αἴτιον ἐζημίωσαν, τὴν δὲ φρουρὰν οὐκ ἐξήγαγον.»

Χεφ. 24. Καὶ τοῦ προκειμένου τὸν πυρῆνα ἀφηγήσεις τοῦ Ξενοφ. ἀποτελοῦσι, παραπλησίας οὔσης τῆς ἀρχῆς τῇ Ἑλλην. ἱστορ. 5, 4, 13, ἣν ὅμως ὁ βιογράφος τῷ ἔθει αὐτοῦ ἑπόμενος ἄλλοις ἐπεκτείνει, ἅπερ τὰ μὲν γνῶμαι αὐτοῦ εἰσι, τὰ δὲ παρ' ἄλλων παρείληπται. Ὁμοίως δ' ἱστορεῖ τῷ Ξενοφῶντι (Ἑλλην. ἱστορ. ς, 4, 13) τὰ αἴτια δι' ἃ ἔφυγεν ὁ Ἀγησίλαος τὴν πρὸς τοὺς Θηβαίους στρατείαν, αὐστηροτέροις μέν τοι χρῆται καὶ τραχυτέροις ῥήμασι τοῦ λακωνίζοντος Ξενοφῶντος. Λέγοντος γὰρ τούτου· «Κἀκεῖνος μὲν λέγων ταῦτα οὐκ »ἐστρατεύετο. Οὐ μέν τοι τούτου γ' ἕνεκε κατέμεινεν, ἀλλ' εὖ εἰδώς, »ὅτι, εἰ στρατηγοίη, λέξοιεν οἱ πολῖται, ὡς Ἀγησίλαος, ὅπως βοη»θήσοιε τοῖς τυράννοις πράγματα τῇ πόλει παρέχοι. Εἶα οὖν αὐτοὺς »βουλεύεσθαι ὁποῖόν τι βούλοιντο περὶ τούτου·» ὧδε ἱστορεῖ ὁ Πλούταρχος «ἔφυγε τὴν στρατείαν ἐκείνην, *αἰσχυνόμενος* εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν....» Παρατηρητέον δὲ ὅτι τὸ παρὰ τοῦ Πλουτ. προστιθέμενον «εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν,» ὅπερ ἐνταῦθα παρὰ Ξενοφ. οὐχ εὕρηται, πιθανῶς παρὰ τοῦ χωρίου 5, 3, 15 παρείληπται, ἔνθα ἀναγινώσκομεν «Τῷ δ' ὄντι ὑβρίζειν δοκούντων τῶν Φλιασίων, φρουρὰν φαίνουσιν ἐπ' αὐτοὺς οἱ Ἔφοροι....» Μέλλων δὲ τὰ τοῦ Σφοδρίου ἱστορεῖσαι ὁ Πλούταρχος, καὶ πλείονα περὶ αὐτοῦ εἰπεῖν βουλόμενος, οὐδὲν δὲ τοιοῦτον παρὰ Ξενοφῶντι εὑρίσκων, πρὸς ἄλλον καταφεύγει ἱστορικόν, ὃς πλείονα ἱστόρει περὶ ἐκείνου. Τοιοῦτος δὲ Καλλισθένης ὁ ἱστοριογράφος δοκεῖ εἶναι, ὡς ἄν τις εἰκάσειεν, εἰ τὰ ὑπὸ τοῦ Πλουτάρχου περὶ τοῦ Σφοδρίου ἱστορούμενα ἐκείνοις παραβάλοι, ἅπερ παρ' Ἁρποκρατίωνι περὶ αὐτοῦ φέρεται. Διδασκόμεθα γὰρ παρ' αὐτοῦ τάδε «Σφοδρίας Ἰσαῖος ἐν τῷ κατὰ Μεγαρέων, εἰ γνήσιος· στρατηγὸς Λακεδαιμονίων· φησὶ δ' αὐτὸν ὁ Καλλισθένης ἐν

τῷ δευτέρῳ Ἑλληνικῶν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας. [1] Παρὰ Πλουτ. δὲ εὕρηται «Ἦν δέ τις Λάκων Σφοδρίας... οὐκ ἄτολμος μὲν οὐδὲ ἀφιλότιμος ἀνήρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον ἢ φρενῶν ἀγαθῶν μεστός,» καὶ ἐν βίῳ Πελοπ. 14 «Σφοδρίας ἀνὴρ Σπαρτιάτης, εὐδόκιμος μὲν ἐν τοῖς πολεμικοῖς καὶ λαμπρός, ὑπόκουφος δὲ τὴν γνώμην καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστός.» Ὅτι δὲ τὸ τοῦ Καλλισθένους σύγγραμμα, τὸ περὶ Ἑλληνικῶν, πρὸ αὐτοῦ ὁ Πλούτ. εἶχε γράφων τὸν βίον καὶ συνεϐουλεύετο αὐτό, ἐκ τοῦ κεφ. 34 ἴσμεν, ἔνθα ῥητῶς παρατίθεται. Τί δὲ καὶ πόσον τῶν περὶ Σφοδρίου ὑπὸ τοῦ Πλουτάρχου ἱστορουμένων τοῦ Καλλισθένους ἐστί, χαλεπόν ἐστιν εὑρεῖν· οὐδαμόθεν γὰρ ἄν τις τεκμήριον περὶ τούτου ἐνεγκεῖν ἔχοι. Οὐ μὴν ἀλλ' ἐπισκοπῶν, ὅτι τῶν ἀκολουθούντων τὰ πλείονα παρὰ μὲν τῷ Ξενοφ. οὐχ εὕρηται, ἄλλως δὲ ὑπὸ τοῦ Διοδώρου ἱστορεῖται, καὶ ταῦτα οἶμαι τῷ Καλλισθένει ἀποδοτέα εἶναι. Ἦν δὲ τὰ πρὸς τὴν ἀπόπειραν ταύτην τὸν Σφοδρίαν παρορμήσαντα κατὰ τὸν Ξενοφ. μὲν χρήματα (Ἑλλην. ἱστορ. 5, 4, 20 «Πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν Σφοδρίαν χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμϐαλεῖν εἰς τὴν Ἀττικὴν») κατὰ τὸν Πλούτ. δὲ ἢ μᾶλλον εἰπεῖν κατ' ἐκείνους, οἳ ταῦτα ἔφασαν, ἔπαινοι (« λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν περὶ Πελοπίδαν καὶ Μέλωνα βοιωταρχῶν. Ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους, οἳ τὸν Σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες., ..») Ἄλλως δὲ ὁ Διόδωρος 15, 29· ὧδε «Μετὰ ταῦτα Σφοδριάδου τοῦ Σπαρτιάτου »τεταγμένου μὲν ἐφ' ἡγεμονίας, φύσει δὲ ὄντος μετεώρου καὶ προπε»τοῦς ἔπεισεν αὐτὸν Κλεόμϐροτος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων ἄνευ »τῆς γνώμης τῶν Ἐφόρων καταλαϐέσθαι τὸν Πειραιᾶ.»

Ἡ τῶν προκειμένων τοίνυν κεφαλ. ἐξέτασις καὶ ἡ τούτων παραϐολὴ ταῖς παρὰ τῷ Ξενοφῶντι καὶ ἄλλοις, μάλιστα δὲ τῷ Διοδώρῳ φερομέναις συγγενέσιν ἀφηγήσεσι σαφῶς, οἶμαι, καταδείκνυσι καὶ οὐδεμίαν ἀφίησιν ἀμφιϐολίαν περὶ τοῦ τίς πρώτη καὶ κυρία τῷ Πλουτάρχῳ, τὸν παρόντα γράφοντι βίον, ὑπέκειτο πηγή, καὶ πῶς ταῖς ἄλλαις ἐχρῆτο. Τῶν ταῖς δύο τάξεσιν ἀναγομένων δέκα μὲν καὶ ἓν (τῆς πρώτης, 7, 9, 10, 11, 12, 13, 14, 18,19, 25, 29) ἢ ὅλα ἢ

[1] Πρβλ. Callisthenes Fragm. 2. Didot ἴδ. καὶ Schneider Ξενοφ. Ἑλλην. ἱστορ. 4, 5, 20. Παρατηρ.

τὸ μέγιστον μέρος παρὰ τοῦ Ξενοφ. (μάλιστα μὲν τῆς Ἑλλην. ἱστορ. ἧττον δὲ τοῦ Ἐγκωμίου) ἀμέσως ἀντιγεγραμμένα καὶ οὐκ ἐμμέσως ἐστίν, ὡς προδήλως πάνυ ἐκ τῆς μεγίστης καταφαίνεται οὐ μόνον ἐσωτερικῆς, ἀλλὰ καὶ ἐξωτερικῆς ὁμοιότητος καὶ συμφωνίας. Ἐννέα δὲ (τῆς δευτέρας, 3, 6, 8, 15, 20, 21. 23, 24, 27) τοιαῦτά ἐστιν, ἐν οἷς αἱ ἐκ τοῦ Ξενοφ. ἠρυσμέναι ἀφηγήσεις ἢ τῇ τάξει πρῶται (6, 8, 15, 20, 21, 23, 27) ἢ τῇ σημασίᾳ κύριαί εἰσιν (3), αἷς μετὰ ταῦτα ἄλλαι, τὰ μὲν παρὰ τοῦ Ἐφόρου. τὰ δὲ παρ' ἄλλων προστίθενται. Τούτων δὲ τῶν προσκειμένων καὶ οἱονεὶ ὑποτεταγμένων ἀποδίδονται τῷ Ἐφόρῳ δύο μὲν πρόδηλοι καὶ ὑπὸ τοῦ Πλουτάρχου αὐτοῦ βεβαιούμεναι (8, 20), τέσσαρες δὲ (10, πάνυ μικρὸν μέρος, 3, 6, 27) τοιαῦται, αἳ διὰ τοῦ Διοδώρου ἐξασφαλίζονται, καὶ ἄλλαι τινες οὐ πολλοῦ ἄξιαι ἔστιν ὅπου παρεμβεβλημέναι καὶ ἐπὶ εἰκασιῶν ἐρειδόμεναι. Ἐὰν οὖν τις ταύτῃ ἀπίδῃ τῇ κατὰ ποσόν τε καὶ ποιὸν σχέσει, ἣν πρὸς ἀλλήλας ἔχουσιν αἱ παρὰ τοῦ Ξενοφῶντος καὶ τοῦ Ἐφόρου παρειλημμέναι ἀφηγήσεις, ἐνθυμηθῇ δὲ καὶ πόσον μεγάλη ἡ ἐν τοῖς ὑπὸ τοῦ Πλουτάρχου καὶ τοῦ Ξενοφῶντος ἱστορουμένοις ὑπάρχουσα συμφωνία, πολλῶν αὐτοῖς ῥήμασιν ἀντιγεγραμγένων, οὐκ ἂν πιστεύσειεν, οἶμαι, τὸν Ἔφορον ἄμεσον καὶ κυρίαν εἶναι πηγήν. Πλὴν δὲ τούτων καὶ πολλὰ τῶν γεγονότων, ἅπερ καὶ παρὰ Διοδώρῳ εὕρηται, οὐ τὸν αὐτὸν ἱστόρηται τρόπον, καθ' ὃν καὶ ὑπὸ τοῦ Πλουτ. ἀλλ' ἄλλον, ὡς ἡ τοῦ Φοιβίδου τῆς Καδμείας κατάληψις (κεφ. 23), ἡ τοῦ Σφοδρίου ἀπόπειρα καταλήψεως τοῦ Πειραιῶς, κ. ἄλ. Ἐχρῆν δέ, εἰ καὶ ὁ Πλούταρχος τὸν Ἔφορον ἀντέγραψεν, ὥσπερ ὁ Stedefeldt παραδέχεται, τοῦ Διοδώρου ὁμολογουμένως τοῦτο πράξαντος, καθάπερ ἤδη εἴρηται, τὴν παρ' ἀμφοτέροις τῶν ἔργων ἱστόρησιν οὐκ ἀπᾴδειν, ἀλλὰ παραπλησίαν εἶναι.

Διὰ ταῦτα οὖν πάντα οὐ πόρρω τῆς ἀληθείας εἶναι δόξω, ἐὰν παραδέξωμαι, ὅτι τὸν τοῦ Ἀγησιλάου βίον ὁ Πλούταρχος γράφων τὰ πλεῖστα μὲν καὶ κυριώτατα παρὰ τοῦ Ξενοφῶντος ἀμέσως παρέλαβε καὶ δὴ τῆς Ἑλλην. ἱστορίας, αὐτῷ κυρίᾳ χρώμενος πηγῇ· τὸν Ἔφορον δὲ καὶ τὸν Θεόπομπον καὶ οὓς αὐτὸς παρατίθεται, συνεβουλεύετο ἢ ὅτε οὐ παρὰ Ξενοφ. εὑρεῖν ἐδύνατο ὅσα ἐπιτήδεια τῷ σκοπῷ ἐδόκει αὐτοῦ, οἷον τὰ περὶ τοῦ Ἐπαμεινώνδου ἀφηγούμενα (κεφ. 27), περὶ ὧν οὐδὲν ἱστορεῖ ὁ Ξενοφῶν, τὰ παρὰ Δούριδος περὶ τοῦ Ἀλκιβιάδου (κεφ. 3), τὰ περὶ τῶν πεντήκοντα εὐγενῶν Σπαρτιατῶν

(κεφ. 18), ἢ ὅτε τοῖς παρὰ τοῦ Ξενοφ. παρειλημμένοις ἕτερα προσθεῖναι ἐβούλετο, ἵνα τὰ πράγματα ἀκριβέστερα καὶ ἐναργέστερα καταστήσῃ, ὡς τὰ περὶ τῶν ἀνατρεπτικῶν τοῦ Λυσάνδρου σχεδίων (κεφ· 8, 20), τὰ περὶ τοῦ Σφοδρίου (κεφ. 24), τὰ περὶ τοῦ ἱεροῦ τῆς Ἰτωνίας Ἀθηνᾶς (κεφ. 19). Τούτοις δὲ καὶ τὰ ποικίλα προσθετέα ἀποφθέγματα, ὧν περ αἱ πηγαὶ πᾶσαι σχεδὸν ἄγνωστοι ἡμῖν εἰσιν. Ὅτι δὲ ἐν τῇ εἰρημένῃ συνεβουλεύετο τάξει ὁ βιογράφος (ἤτοι τὸν Ξενοφῶντα πρῶτον, δεύτερον τὸν Ἔφορον, τὸν Θεόπομπον τρίτον) τοὺς τρεῖς τούτους, κατὰ τοὺς τοῦ Ἀγησιλάου χρόνους ἐπιφανεστέρους ἱστοριογράφους, τῷδε σαφῶς, οἶμαι, καταδείκνυται τῷ παραδείγματι. Εὕρηται ἐν κεφ. 32 ἡ περὶ τῆς ἐκ τῆς Λακωνικῆς ἀναχωρήσεως τῶν Θηβαίων ἀφήγησις· ἱστορῶν δ' ὁ Πλούταρχος τοὺς λόγους, δι' οὓς ἀπῆλθον οἱ πολέμιοι, τάδε λέγει «Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ »τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν »Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆ»νας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκό»τας. Θεόπομπος δέ φησιν, ἤδη τῶν βοιωταρχῶν...» Τίνες οὖν οἱ τὸ πρῶτον λέγοντες καὶ τίνες οἱ τὸ δεύτερον οὐ χαλεπῶς εὑρήσομεν, ἂν ταῦτα παραβάλωμεν τοῖς ὑπὸ τοῦ Ξενοφῶντος περὶ τοῦ αὐτοῦ ἱστορουμένοις καὶ τοῦ Διοδώρου. Παρὰ μὲν γὰρ ἐκείνῳ Ἑλλην. ἱστορ. 6, 5, 50) ἀναγινώσκομεν «Τῶν δ' ἐν τῇ Λακεδαίμονι πολεμίων Ἀρκά»δες μὲν καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι πολλοὶ ἀπεληλύθεσαν,.. Οἱ δὲ Θη»βαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν διὰ τοῦτο ἀπιέναι *ἐβούλοντο* ἐκ τῆς »χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, »τὰ δέ.... πρὸς δ' ἔτι καὶ χειμὼν ἦν, ὥστ' ἤδη πάντες ἀπιέναι ἐ»βούλοντο.» Παρὰ τούτῳ δὲ (15, 67) «οἱ δὲ Θηβαῖοι πάντα τὰ »προειρημένα συντελέσαντες ἐν ἡμέραις ὀγδοήκοντα καὶ πέντε καὶ »καταλιπόντες φυλακὴν ἀξιόλογον τῆς Μεσσήνης ἐπανῆλθον εἰς τὴν »οἰκείαν.» Τὴν δὲ μικρὰν παρὰ Πλουτ. καὶ Ξενοφ. ἀσυμφωνίαν («*Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους*» κατὰ τὸν μέν, «*ἀπιέναι δ' ἐβούλοντο*» κατὰ τὸν δέ), τῇ τοῦ Πλουτάρχου συνηθείᾳ οἶμαι ἀποδοτέαν εἶναι· ὃς ἑαυτῷ μικρὰς πολλάκις ἐπέτρεπε μεταβολὰς τοῖς παρὰ τῶν πηγῶν εἰλημμένοις φέρειν, ὥσπερ καὶ ἔμπροσθεν ἐλέγομεν (κεφ. 8). Ὅτι δὲ οὕτως τοῦτο ἔχει ἐκ τούτου δηλοῦται· τὴν ἐν Κορωνείᾳ περιγράφων μάχην (κεφ. 18) παρατίθεται μὲν καὶ τὸν Ξενοφῶντα, οὐ μέντοι πιστῶς τὰ ὑπ' ἐκείνου λεγόμενα ἀναφέρει· φησὶ γὰρ «λέγει δὲ τὴν

»μάχην ὁ Ξενοφῶν ἐκείνην οἵαν οὐκ ἄλλην τῶν *πώποτε γενέσθαι*·» ἀλλὰ παρὰ Ξενοφ. φέρεται (4, 3, 16) «οἵα οὐκ *ἄλλη τῶν γ' ἐφ' ἡ-* »*μῶν*,» ὅπερ ἐν τῷ ἀποφθέγματι τοῦ Ἀγησιλ. σελ. 221 (ἔκδοσ. Dübner) ὁ Πλούταρχος φυλάττει «τὴν μεγίστην μάχην, ὥς φησι »Ξενοφῶν τῶν καθ' ἑαυτὸν γενομένων.»

Ἐξαρκεῖν οὖν τὰ εἰρημένα ἡγούμενοι, ἵνα πᾶσαν ἄρωσιν ἀμφιβολίαν καὶ πάντα περὶ τοῦ ὀρθοῦ πείσωσι τῆς εἰρημένης γνώμης, εἰς τὴν τῶν τῆς τρίτης τάξεως κεφ. προβαίνομεν ἐξέτασιν. Καὶ οὐ λείπει μὲν καὶ ἐν τούτοις ἴχνη τοῦ Ξενοφῶντος, ἀλλ' οὐ τοιαύτην ἔχει ταῦτα σημασίαν, οἵαν ἐν τῇ δευτέρᾳ. Ὁμολογητέον δὲ τοὐναντίον ὅτι τὰ τοῦ Ἐφόρου ἔν τισιν ἐπικρατεῖ· ἀλλ' οὐδὲ ταῦτα δ' ὅμως τοσαύτην ἔχει τὴν ἰσχύν, ὥστε τὴν ἡμετέραν κλονίσαι ἐκδοχήν· ἅμα μὲν γὰρ ἱκανῶς ἡγούμεθα ἠσφαλισμένην αὐτὴν τοῖς μέχρι τοῦδε καταδειχθεῖσιν, ἅμα δὲ περὶ ὀλίγων τοῦτο ἰσχύει μόνον κεφαλαίων, καθάπερ ἐκ τῆς ἐξετάσεως δῆλον γενήσεται.

3

Κεφ. 1—2. Περὶ τοῦ γένους διδασκόμεθα τοῦ Ἀγησιλάου ἐκ τῶν πρώτων κεφ. καὶ τῆς ἀγωγῆς καὶ τῆς φύσεως αὐτοῦ. Καὶ τὰ μὲν τοῦ γένους ἐκ τῶν Λακωνικῶν ἠρύσατο ὁ βιογράφος ἀναγραφῶν, ὧν αὐτὸς ἐν κεφ. 19 μνημονεύει, λέγων τάδε «Ὁ μὲν οὖν Ξενοφῶν ὄνο- »μα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε, καὶ ὁ Δικαίαρχος ἐπηγα- »νάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα μήτε τὴν Ἐπαμει- »νώνδου μητέρα γιγνωσκόντων ἡμῶν, ἡμεῖς δὲ εὕρομεν ἐν ταῖς λα- »κωνικαῖς ἀναγραφαῖς ὀνομαζομένην γυναῖκα μὲν Ἀγησιλάου Κλεό- »ραν, θυγατέρας δὲ Εὐπωλίαν καὶ Προλύταν.» Ἄγνωστοι δ' ὅμως αἱ πηγαὶ τυγχάνουσιν οὖσαι, αἷς τὰς μακρὰς ὀφείλομεν καὶ ἀκριβεῖς περί τε τῆς ἀγωγῆς καὶ τῶν ἀρετῶν τοῦ Ἀγησιλάου ἀφηγήσεις. Ἐν κεφαλαίῳ δὲ παρατηρητέον, ὅτι οὐκ ὀλίγας αὐτῷ παρεῖχε τὸ εἰς Ἀγησίλαον ἐγκώμιον τοῦ Ξενοφ., οὗ τὸ πλεῖστον τούτῳ προώριστο, τὰς τοῦ βασιλέως ἐξυμνεῖσαι ἀρετάς, ὡς καὶ ἐξ ἄλλων μέν, ἐκ τῶνδε δὲ μάλιστα κατάδηλον γίνεται «ἀφικόμενος ἐπὶ τὸ μήκιστον »ἀνθρωπίνου αἰῶνος ἀναμάρτητος ἐτελεύτησε καὶ περὶ τούτους, ὧν

»ἡγεῖτο, καὶ πρὸς ἐκείνους, οἷς ἐπολέμει» (Ἐγκώμ. Ἀγησ. 10, 4). Ἔτι δὲ καὶ περὶ τῶν ἐν ἀρχῇ τοῦ δευτέρου ἀναγινωσκομένων κεφ. «Ἐν δὲ τοῖς καλουμέναις ἀγέλαις—τῆς φύσεως αὐτοῦ,» οὐ θετικῶς εἰπεῖν ἔχομεν, ὁπόθεν ταῦτα παρείληπται. Ἐὰν μέν τοι τοῖς πολλάκις ἤδη περὶ τοῦ Λυσάνδρου εἰρημένοις (κεφ. 6, 8, 20, καὶ ἐν βίῳ Λυσάνδ. 20, 25) ἀπίδωμεν, καὶ τὰ ἐνταῦθα στοχασθῶμεν μικρὸν τούτων μέρος εἶναι, οὐχ ἡμᾶς αὐτούς, οἶμαι, ἐξαπατήσομεν, ἐὰν εἰκάσωμεν, ὅτι καὶ ταῦτα τῇ αὐτῇ ἀνακτέα πηγῇ, τῷ Ἐφόρῳ. Ἀναφέρεται δ' ἔτι ἐν τῷ αὐτῷ κεφ. ὅτι χωλὸς τὸν ἕνα πόδα «Τὴν δὲ »τοῦ σκέλους πήρωσιν» καὶ μικρὸς τὸ σῶμα ἦν «λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος.» Τούτων μνημονεύουσι πολλοὶ τῶν ἀρχαίων συγγραφέων, Ἑλλήνων τε καὶ Ρωμαίων· καὶ ὁ μὲν Ξενοφ. περὶ τῆς χωλότητος μόνον ἱστορῶν ἐν τῇ Ἑλλην. ἱστορ. 3, 3, 3 λέγει «Λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ Ἀγησιλάου ἀντεῖπεν, »ὡς οὐκ οἴοιτο τὸν Θεὸν τοῦτο φυλάξασθαι μὴ προσπταίσας τις χω»λεύσαι, ἀλλὰ μᾶλλον μὴ ὢν τοῦ γένους βασιλεύσειε.» Παρὰ δὲ τῷ Κορν. Νεπ. ἐν βίῳ Ἀγησ. 8, 1 φέρεται «Nam et statua fuit (scil. Agesilaus) humili et corporc exigue et claudus. altero pede.» Τούτοις δὲ καὶ τὰ τοῦ Παυσαν. (3, 8, 5) προσθετέα «τὸν »γὰρ δὴ τὸν ἕτερον τῶν ποδῶν ἐπεπήρωτο Ἀγησίλαος,» καὶ τὰ τοῦ Ἰουστίνου (7, 2) «erat euim (scil. Agesilaus) pede claudus.» Παρατηρητέον δ' ὅτι ἄλλῳ δοκεῖ ἐνταῦθα ὁ Πλούτ. ἠκολουθηκέναι ἱστορικῷ καὶ οὐ τῷ Ξενοφῶντι, ὡς ἄν τις εἰκάσειε τοῦτο μὲν ἐκ τοῦ αὐτοῦ τῆς φράσεως τρόπου τοῦ Πλουτ. καὶ τοῦ Παυσαν. («τὴν τοῦ »σκέλους *πήρωσιν*» Πλούτ., «τὸν γὰρ δὴ τὸν ἕτερον τῶν ποδῶν *ἐπε»πήρωτο*» Παυσαν.), τοῦτο δὲ ἐκ τοῦ ὅτι οὐχ εὕρηται παρὰ Ξενοφ. ἡ περὶ τῆς τοῦ σώματος βραχύτητος ἀφήγησις· ἐὰν δὲ τελευταῖον καὶ τοῖς παρὰ τῷ Κορν. Νέπ. φερομένοις ἀπίδωμεν, καὶ ἐνθυμηθῶμεν, ὅτι ὅ τε Παυσαν. καὶ ὁ Κορν. Νέπ. οὐ σπανίως τῷ Θεοπόμπῳ ἀκολουθοῦσι, παραβάλωμεν δὲ ταῦτα πρὸς τὰ ὑπὸ τοῦ Θεοπόμπου παρὰ τῷ Ἀθηναίῳ 14, 617 d. ἱστορούμενα «Καὶ Ταχὼς δ' ὁ Αἰγυ»πτίων βασιλεὺς Ἀγησίλαον σκώψας τὸν Λακεδαιμονίων βασιλέα, »ὅτ' ἦλθεν αὐτῷ συμμαχήσων, ἦν γὰρ βραχὺς τὸ σῶμα .... ὥς φησι »Θεόπομπος,» πειθόμεθα, ὥς γ' ἐμοὶ δοκεῖ, ὅτι πᾶσαι ἔχουσιν αἱ διηγήσεις αὐταὶ τὸν Θεόπομπον κοινὴν πηγήν. Τῇ δ' αὐτῇ ἴσως ἀνάγεται πηγῇ καὶ τὰ περὶ τῆς εἰκόνος τοῦ Ἀγησιλάου, ἅπερ καὶ

παρὰ Ξενοφ. μὲν εὕρηται (Ἐγκώμ. 11, 7), οὐ μέν τοι πάντη τῇ φράσει παραπλήσιά ἐστιν, ὥς τις εὐκόλως βλέπει ἐκ τῆσδε τῆς παραθέσεως.

Πλούτ. 2.	*Ξενοφ. Ἐγκώμ. 11, 7.*
Τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν (αὐτὸς γὰρ οὐκ ἠθέλησεν), ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν μήτε μιμηλάν τινα ποιήσασθαι τοῦ σώματος εἰκόνα.	Καὶ τοῦ μὲν σώματος εἰκόνα στήσασθαι ἀπέσχετο, πολλῶν αὐτῷ τοῦτο δωρεῖσθαι θελόντων, τῆς δὲ ψυχῆς οὐδέποτε ἐπαύετο μνημεῖα διαπονούμενος, ἡγούμενος τὸ μὲν ἀνδριαντοποιῶν, τὸ δὲ αὐτοῦ ἔργον εἶναι, καὶ τὸ μὲν πλουσίων, τὸ δὲ ἀγαθῶν.

Κεφ. 4—5. Τοιοῦτον τὸ τῶν παρόντων κεφαλ. ὑποκείμενόν ἐστιν, ὥστε χαλεπὸν πάνυ ἢ μᾶλλον ἀδύνατον ὁρίσαι, ποῦ τοῦτο τὴν πηγὴν ἔχει. Ἱστορῶν γὰρ ἐν αὐτῷ πῶς ὁ Ἀγησίλαος, βασιλεὺς ἤδη ἀποδειχθείς, ἑαυτὸν τοῖς ἐφόροις παρεῖχε καὶ τοῖς ἄλλοις Σπαρτιάταις ὀνομάζει μὲν διαρρήδην τὸν Ξενοφ., ἀλλ' οὐδὲν ἐκ τούτου εἰς τὴν τῶν πηγῶν ὠφελούμεθα εὕρεσιν, ἐπειδὴ παρατίθεται αὐτόν, ἵνα τὰ ὑπ' αὐτοῦ βραχέως λεγόμενα διὰ μακρῶν ἐπεκτείνῃ καὶ σαφηνίσῃ. «Ὃ δέ φησι ὁ Ξενοφῶν (Ἐγκώμ. 6, 4. 7, 2. 3. 1, 36. 8, 1) »ὅτι πάντα τῇ πατρίδι πειθόμενος ἴσχυε πλεῖστον, ὥστε ποιεῖν ὃ »βούλοιτο, τοιοῦτόν ἐστι. Τῶν ἐφόρων ἦν τότε καὶ τῶν γερόντων »τὸ μέγιστον....» Ἀλλὰ πόθεν τὸ τοιοῦτον; Περὶ τῆς τῶν γερόντων ἀρχῆς καὶ δυνάμεως λόγον ποιεῖται καὶ ἐν βίῳ Λοκούργου 5, ἔνθα καὶ τὰ ὀνόματα τοῦ Πλάτωνος καὶ τοῦ Ἀριστοτέλους καὶ Σφαίρου φέρονται «Πλειόνων δὲ καινοτομουμένων ὑπὸ τοῦ Λυκούργου πρῶτον »ἦν καὶ μέγιστον ἡ κατάστασις τῶν γερόντων, ἥν φησιν ὁ Πλάτων »τῇ τῶν βασιλέων ἀρχῇ φλεγμαινούσῃ μιχθεῖσαν καὶ γενομένην ἰσόψηφον εἰς τὰ μέγιστα σωτηρίαν ἅμα καὶ σωφροσύνην παρασχεῖν. »Αἰωρουμένη γὰρ ἡ πολιτεία....» Ἀλλὰ καὶ ταῦτα δ' ὅμως οὐκ ἐξαρκεῖ, ἵνα ἡμᾶς εἰς τὰς πηγὰς τῶν ἐν τῷ ἡμετέρῳ κεφ. ἀγάγῃ ἱστορουμένων. Ὅθεν χαίρειν ἐῶντες πᾶσαν περὶ τούτου ἀπόφανσιν εἰς τὰ μέρη προβαίνομεν, ὧν ὁρισταὶ αἱ πηγαί. Ἡ ἀρχὴ οὖν τοῦ τετάρτου κεφ., ἐν ᾗ ὁ λόγος ἐστὶ περὶ διανομῆς τοῦ ἡμίσεως τῶν τοῦ βασιλικοῦ θρόνου χρημάτων τοῖς ἀπὸ μητρὸς συγγενέσι τοῦ Λεωτυχίδου, παράλληλός ἐστι τοῖς ἐν τῷ Ἐγκωμ. τοῦ Ξενοφ. 4, 5. Καὶ

ἡ τοῦ ἑπομένου δ' ἔπειτα ἀρχὴ τῷ αὐτῷ Ἐγκωμ. ἀνακτέα δοκεῖ, οὐχ ὡρισμένοις μέν τοι μέρεσιν, ὡς ἐκ πολλῶν συνηγμένη, τὰς τοῦ βασιλέως ἀρετὰς μάλιστα ἐγκωμιαζόντων. Γράφων δὲ τελευταῖον τὰ «καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται....» καὶ τοὺς ἄλλους μὲν φυσίκοὺς ἐνόει φιλοσόφους, μάλιστα δὲ τὸν Ἡράκλειτον, ὡς ἄν τις ῥαδίως πεισθείη, εἰ τὰ τοῦ Πλουτάρχου πρὸς τὰ τοῦ Ἡρακλείτου παραβάλοι ἀποσπάσματα. Τάδε γὰρ ἔν τινι ὑπὸ τοῦ Πλουτ. (περὶ Ἰσ. 48, 370) ἡμῖν διασωθέντι ἀποσπάσματι ἀναγινώσκεται «Ἡράκλειτος »μὲν γὰρ ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον »πάντων.» Καὶ ἐν ἀποσπάσματι 77 (Orig. c. Cels 6, 42) φέρεται »εἰ δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνὸν καὶ Δίκην ἐρεῖν, καὶ γινόμενα »πάντα κατ' ἔριν καὶ χρεώμενα.» Καὶ ἐν τῇ τοῦ Εὐδήμου ἠθικῇ τελευταῖον (7, 1, 1235, α, 25) εὕρηται ταῦτα «Ἡράκλειτος ἐπι»τιμᾷ τῷ ποιήσαντι: ὡς ἔρις ἔκ τε θεῶν καὶ ἀνθρώπων ἀπόλοιτο: »οὐ γὰρ ἂν εἶναι ἁρμονίαν μὴ ὄντος ὀξέος καὶ βαρέος, οὐδὲ τὰ ζῷα »ἄνευ θήλεως καὶ ἄρρενος ἐναντίων ὄντων[1].»

Κεφ. 16. Ἐξετάζοντι τὸ 15 κεφ. εἴρηταί μοι τοὺς Λακεδαιμονίους, ὑπὸ τοῦ τὴν Σπάρτην περιεστηκότος ἑλληνικοῦ ἀναγκασθέντας πολέμου τὸν Ἀγησίλαον ἀνακαλέσαι ἐξ Ἀσίας. Ἐπεὶ οὖν οὗτος τὴν σκυτάλην ἔλαβε τῶν Ἐφόρων, τοῖς οἴκοι βοηθεῖν αὐτὴν κελευόντων, ἀπέπλευσεν εὐθὺς εὐτυχίαν τοσαύτην ἀφεὶς καὶ δύναμιν καὶ τηλικαύτας ἐλπίδας. Διαβὰς δὲ τὸν Ἑλλήσποντον διὰ Θρᾴκης ἐβάδιζε καὶ Μακεδονίας καὶ Θεσσαλίας, ἔνθα πολλοὺς ὑπέστη ἀγῶνας, ὡς ἐν τῷ παρόντι κεφ. ἱστορεῖ ὁ ἡμέτερος βιογράφος. Καὶ οὐδεμίαν μὲν περὶ τῶν ἀγώνων τούτων ποιεῖται ὁ Ξενοφ. μνείαν, ἱστορεῖ δ' ἀντὶ τούτου περὶ ἐπαγγελίας τινός, ἣν μέλλων ὁ Ἀγησίλαος ἐξ Ἀσίας ἀπελθεῖν τοῖς οἰκοῦσι τὰς ἑλληνικὰς πόλεις ἐπηγγείλατο, εἰπὼν τάδε· «ἐὰν μέν τοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, ὦ ἄνδρες »σύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι »πράξων ὧν ὑμεῖς δεῖσθε·» (Ἑλλην. ἱστορ. 4, 2, 2). Ταῦτα δέ, καὶ ὁ διάφορος τῆς ἀφηγήσεως τρόπος παρὰ Ξενοφ. καὶ Πλουτ. τῶν ἐν Θασσαλίᾳ ἀγώνων τοῦ Ἀγησιλάου ποιεῖ ἡμᾶς εἰκάσαι, ὅτι ὁ βιογράφος οὐ τῇ κυρίᾳ ἐν τούτοις ἠκολούθησε πηγῇ, ὀλίγα ἐκ ταύτης ἀρυσάμενος, ὡς τὴν τῆς θλίψεως ἐκδήλωσιν τοῦ Ἀγησιλάου ἐπὶ τῷ

[1] Πρβλ. Ed. Zeller: Die Philosophie der Griechen Α' μέρος, σελ. 596-97.

φόνῳ πολλῶν Ἑλλήνων ἐν τῇ περὶ Κόρινθον μάχῃ («Φεῦ τῆς Ἑλλά»δος τοσούτους ἄνδρας ἀπολωλεκυίας ὑφ' αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο »νικᾶν σύμπαντας τοὺς βαρβάρους μαχόμενοι,») συνᾴδουσαν τοῖς ἐν τῷ Ἐγκωμ. 7, 5, καὶ τὸ τελευταῖον τοῦ κεφ. μέρος, οὗ τινος τὸ συγγενὲς ἐν τῇ Ἑλλην. ἱστορ. 4, 3, 9 εὕρηται. Ἐπεὶ οὖν καὶ ἐνταῦθα οὐχ ἱκανὰ ὁ Πλούτ. τὰ παρὰ τῷ Ξενοφ. ἡγεῖτο περὶ τῆς τοῦ Ἀγησιλάου ἐπανόδου, βραχέα πάνυ ἱστοροῦντι (Ἑλλην. ἱστορ. 4, 2, 8 «Καὶ ὁ Ἀγησίλαος μέν, ἐπεὶ τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ »στράτευμα ἐπορεύετο τὴν αὐτὴν ὁδόν, ἥν περ βασιλεύς, ὅτε ἐπὶ »τὴν Ἑλλάδα ἐστράτευε» καὶ 4, 3, 3 «ὁ δ' Ἀγησίλαος διαλλάξας »Μακεδονίαν εἰς Θετταλίαν ἀφίκετο»), ἐβούλετο δὲ καὶ τοὺς ἐν ταῖς χώραις ἐκείναις ἀγῶνας τοῦ ἥρωος αὐτοῦ ἀφηγήσασθαι, συνεβουλεύσατο τοῦτον, παρ' ᾧ ταῦτα εὕρητο. Ἐπεὶ δ' οὐ βέβαια ἔχομεν σημεῖα, οἷς ἂν ἐρειδόμενοι τοῦτον ὁρίσαιμεν τὸν συγγραφέα, δι' εἰκασιῶν πειρασόμεθα ὁδὸν εὑρεῖν, εἰς τὸ ζητούμενον ἡμᾶς δυναμένην ἀγαγεῖν.

Ἐν τῇ ὑπὸ Müller[1] συλλογῇ τῶν ἀποσπασμάτων τῶν Ἑλλήνων ἱστορικῶν εὕρηται τόδε (15) «Στέφανος: Τραλλία, μοῖρα τῆς Ἰλ»λυρίας· λέγονται καὶ Τράλλοι καὶ Τράλλες παρὰ Θεοπόμπῳ.» Παρατηρεῖται δ' ἐν τέλει ὑπὸ Wichers ὅτι πιθανὸν μέρος εἶναι τοῦτο τὸ ἀπόσπασμα τῆς ἀφηγήσεως περὶ τῆς ἐξ Ἀσίας τοῦ Ἀγησιλάου ἐπανόδου, ὅπερ ἄν τις ἐκ τῆς τῶν Τράλλεων μνείας εἰκάσειεν· «est fortasse hoc fragmentum pars enarrationis Agesilai ex Asia reditus, qnod propter Trallum mentionem suspicari licet. Wichers, qui laudat Plut. Agesil. 16.» Ἀλλ' οὐκ ἔμοι γε ὀρθὴ αὕτη δοκεῖ ἡ παρατήρησις· οὐ γὰρ ἡγοῦμαι τοὺς ὑπὸ Στεφάνου τοῦ Βυζαντίου μνημονευομένους Τράλλεις τῆς Ἰλλυρίας τοὺς αὐτοὺς εἶναι τούτοις, οὓς ἐν Θράκῃ εὑρίσκει ὁ Πλούτ. καὶ καταπολεμεῖ· οὐδὲ τὸ ἀπόσπασμα ἄρα μέρος τῆς τοῦ Θεοπόμπου ἀφηγήσεως τῆς ἐπανόδου τοῦ Ἀγησιλάου εἶναι δύναται. Τί γὰρ καὶ ἐβούλετο ὁ Ἀγησίλαος εἰς Ἰλλυρίκν, δέον ὡς τάχιστα εἰς Λακεδαίμονα ἐλθεῖν, ὅπως τοῖς οἴκοι βοηθήσῃ; Ἔγωγε ἡγοῦμαι ἐν ἄλλῳ τὸν Θεόπομπον καιρῷ τούτους ὀνομάσαι τοὺς Τράλλεις, καὶ οὐκ ἐν τῷ παρόντι, ὃς οὐδὲν ἔχει κοινὸν τῇ τοῦ Ἀγησιλάου ἐπανόδῳ. Οὐ πόρρω δὲ τῆς ἀληθείας

[1] Müller: Fragm. histor. graecor. I, 25.

εἶναι δόξω, ἐὰν παραδέξωμαι, ὅτι πολλὰς ἐν τοῖς Φιλιππικοῖς αὐτοῦ αἰτίας ἔσχεν ὁ Θεόπομπος οὐ τούτων μόνον μνημονεῦσαι τῶν Τράλλεων, ἀλλὰ καὶ πολλῶν ἄλλων Ἰλλυρικῶν ἐθνῶν, τοῦ Φιλίππου, ὡς γνωστὸν τυγχάνει, καὶ τῶν ἄλλων τῆς Μακεδονίας βασιλέων πολλοὺς πολλάκις πρὸς τοὺς Ἰλλυροὺς ἀγῶνας ἀγωνισαμένων. Καὶ ὁμολογητέον μὲν ὅτι ἴσως ταῦτα παρὰ τοῦ Θεοπόμπου παρείληφεν ὁ βιογράφος· οὐ γὰρ πάντη ἀδύνατον ὑποληφθῆναι χρή, ὅτι ἡ διὰ Μακεδονίας τοῦ Ἀγησιλάου ἐπάνοδος ἀφορμὴν τῷ Θεοπόμπῳ παρέσχεν, ἵνα τι καὶ περὶ τούτου εἴπῃ ἐν τοῖς Φιλιππικοῖς· καὶ ὅτι, ἐπειδὴ εἰς ἄμεσον ταῦτα εὕρηται σχέσιν πρὸς τὴν διὰ Θρᾴκης πορείαν καὶ τοὺς ἐν ταύτῃ ἀγῶνας, καὶ περὶ τούτων τι ἱστόρηκεν. Ἔτι δὲ καὶ τοῦτο δυνατόν, ὅτι τὴν περὶ Κνίδον ἱστορῶν ὁ Θεόπομπος ναυμαχίαν (ἐν ταύτῃ δὲ τὰ Ἑλληνικὰ ἐπέρανεν αὐτοῦ) συμβᾶσαν καθ' ὃν ὁ Ἀγησίλαος χρόνον διὰ Θρᾴκης ἐπορεύετο καὶ Μακεδονίας, λόγον τινὰ καὶ περὶ τούτων ἐποιήσατο. Ἀλλ' εἰκασίαι μέν τοι ταῦτά ἐστιν, ὧν πρὸς βεβαίωσιν οὐδαμόθεν ἄν τις τεκμήριον ἐνεγκεῖν ἔχοι. Πιθανώτερον ἔμοι γε δοκεῖ ὅτι παρ' Ἐφόρῳ ταῦτα ἔχει τὴν ἀρχήν. Ἐὰν γάρ τις ταῦτα τοῖς ὑπὸ τοῦ Διοδώρου παραβάλῃ περὶ τῆς ἐπανόδου τοῦ Ἀγησιλάου ἱστορουμένοις, οὐ μικρὰν εὑρίσκει τὴν ὁμοιότητα αὐτῶν. «Ἀγησίλαος δὲ» φέρεται παρ' αὐτῷ (14, 83) «τὴν δύναμιν ἐκ τῆς Ἀσίας διαβιβάσας εἰς τὴν Εὐρώπην τὸ μὲν »πρῶτον Θρᾳκῶν τινων ἀπαντησάντων αὐτῷ μετὰ πολλῆς στρατιᾶς »μάχῃ τε ἐνίκησε καὶ τοὺς πλείστους τῶν βαρβάρων ἀνεῖλε, μετὰ »δὲ ταῦτα διὰ Μακεδονίας τὴν πορείαν ἐποιεῖτο, τὴν αὐτὴν διεξιὼν »χώραν, ἣν καὶ Ξέρξης ἐπορεύθη, καθ' ὃν καιρὸν ἐστράτευσεν ἐπὶ τοὺς »Ἕλληνας.»

Τῆς περὶ Κόρινθον συμβάσης μεγάλης μάχης μνημονεύει καὶ ὁ Κορν. Νέπ. ἐν βίῳ Ἀγησ. 5, ἐσφαλμένως πάνυ λέγων ταύτην γενέσθαι ἀρχηγοῦντος τοῦ Ἀγησιλάου (Hic cum una pugna decem milia hostium *Agesilao duce* cecidissent eoque facto . . etc).

Κεφ. 17. Εἰ τῷ αὐτῷ ἀποδοτέα ἱστορικῷ καὶ τὰ ἐν ἀρχῇ τοῦ προκειμένου κεφ., ἐν ᾗ ἀπάντησίς τις τοῦ Ἀγησιλάου μετὰ τοῦ ἐφόρου Διφρίδου, καὶ ἡ διαταγὴ τοῦ ἐμβαλεῖν ἐκεῖνον εἰς Βοιωτίαν ὡς καὶ ἡ ἀπογραφὴ τῶν νέων Σπαρτιατῶν φέρεται, οὐχ ὡρισμένως εἰπεῖν ἔχομεν· παρὰ τῷ Διοδώρῳ γάρ, ᾧ τεκμηρίῳ περὶ τῶν ἔμπροσθεν ἐχρησάμεθα, ἁπλῶς ἀναγινώσκεται. «Ἀγησίλαος μὲν οὖν διὰ Μακεδονίας

»καὶ Θετταλίας πορευθείς, ὡς διῆλθε τὰ περὶ τὰς Θερμοπύλας στενά, »τὴν πορείαν ἐποιεῖτο» 14, 83). Ἐν τῇ αὐτῇ δὲ διατελοῦμεν ἀβεβαιότητι καὶ περὶ τοῦ μέρους «Ὁ δέ, καίπερ ἀπὸ μείζονος παρα»σκευῆς..—τῶν περὶ Κόρινθον στρατευομένων», ὅπερ διὰ τοῦτο οὐ τῷ Ξενοφ. ἀποδοθῆναι δύναται, ὅτι τὰ ὑπ' αὐτοῦ περὶ τοῦ ἀριθμοῦ τῶν μορῶν λεγόμενα ἀπᾴδει τοῖς τοῦ Πλουτάρχου. Ἱστοροῦντος γὰρ ἐκείνου ἐν Ἑλλην. ἱστορ. 4, 3, 15 «σὺν Ἀγησιλάῳ δὲ (ἦν) Λακεδαιμονίων »μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας τῆς ἐξ Ὀρχομενοῦ, »ἔτι δὲ οἱ ἐκ Λακεδαίμονος νεοδαμώδεις», φέρεται παρὰ τούτῳ «καὶ »δύο μόρας μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων». Ἵνα δὲ τελευταῖον μὴ μόνον σαφέστερον δηλωθῇ, πόθεν παρέλαβεν ὁ Πλούτ. τὸ δεύτερον ἥμισυ τοῦ 17 κεφ. ἀλλὰ καὶ διαυγέστερον ἐμφανισθῇ καὶ τίνι τρόπῳ τὴν αὐτοῦ πηγὴν ἀντέγραφεν, ἀμφότερα παρατιθέμεθα τὰ συγγενῆ χωρία.

Πλούταρχος 17.

Ὁ δὲ Ἀγησίλ. εἴσω πυλῶν παρελθὼν καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γινόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δὲ ἤκουσε τεθνάναι Πείσανδρον ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. Ἠχθέσθη μὲν οὖν, ὡς εἰκός, ἐπὶ τούτοις καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν, ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶσι τῇ ναυμαχίᾳ· καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

Ξενοφ. Ἑλλην. ἱστορ. 4, 3, 9—10.

Τῇ δ' ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια. Ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς ἔδοξε φανῆναι, καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη.... (13) Ὁ οὖν Ἀγησίλ. πιθόμενος ταῦτα τὸ μὲν πρῶτον χαλεπῶς ἤνεγκεν· ἐπεὶ μέν τοι ἐνεθυμήθη ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῷεν, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν Πίσανδρος τετελευτηκώς, νικῴη δὲ τῇ ναυμαχίᾳ. Ἅμα δὲ ταῦτα λέγων καὶ ἐβουθύτει ὡς εὐαγγέλια καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων.

Κεφ. 28. Εἴρηταί μοι ἔμπροσθεν τὰ τοῦ 27 ἐξετάζοντι κεφαλ. ὅτι

τοῖς Ἕλλησι πᾶσι, τοῖς μακροῖς πεπονημένοις ἤδη πολέμοις, εἰρήνην ἔδοξε ποιήσασθαι. Συνῆλθον οὖν ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα βουλευσόμενοι περὶ τῶν τῆς εἰρήνης ὅρων. Πολλῶν δὲ καὶ σφοδρῶν γενομένων λόγων ἐτελέσθη μὲν ὑπὸ τῶν ἄλλων ἡ εἰρήνη, μόνοι δὲ ἀπεκλείσθησαν ταύτης οἱ Θηβαῖοι, τῶν πρέσβεων αὐτῶν οὐ βουλομένων τοὺς ὑπὸ τοῦ Ἀγησιλάου προτεινουμένους ἀποδέχεσθαι ὅρους, ὡς ἐκ τοῦ παρόντος κεφ. διδασκόμεθα. Τὰ τῶν λόγων τούτων ἀφηγούμενος ἐν ἀρχῇ τοῦ κεφ. οὐ τῷ Ξενοφ. φαίνεται ἀκολουθῶν ὁ Πλούταρ. ἄλλως ταῦτα ἐν Ἑλλην. ἱστορ. 6, 3, 10—19 ἱστοροῦντι. Ἐπεὶ δὲ τὰ περὶ τοῦ ἀρχηγοῦ τῶν πρέσβεων τῶν Θηβαίων Ἐπαμεινώνδου ἱστορούμενα παρὰ τοῦ Ἐφόρου ἀπεδείξαμεν παρειλημμένα (ἐν κεφ. 27), καὶ τὰ ἐν τῷ προκειμένῳ περι αὐτοῦ λεγόμενα τοῦ αὐτοῦ ἄν τις νομίσειεν εἶναι. Ἂν τις δ' ὅμως ταῦτα πρὸς τὰ παρὰ τῷ Διοδώρῳ φερόμενα παραβάλῃ, ῥᾳδίως πάνυ πείθεται, ὅτι οὐ ταῦτα οὕτως ἔχει. Εὕρηται γὰρ παρ' αὐτῷ «Κατὰ δὲ τούτους τοὺς χρόνους Ἀρταξέρξης ὁ »βασιλεύς.... πρέσβεις ἀπέστειλε, παρακαλῶν συλλύσασθαι τοὺς ἐμ»φυλίους πολέμους καὶ συνθέσθαι κοινὴν εἰρήνην..... τῶν δὲ ἄλλων »Ἑλλήνων ἀσμένως προσδεξαμένων τοὺς λόγους, συνέθεντο κοινὴν εἰ»ρήνην αἱ πόλεις πᾶσαι πλὴν Θηβαίων.... ἐπεὶ δὲ τούτοις Λακεδαι»μόνιοι παροξυνθέντες ἔγνωσαν μεγάλῃ δυνάμει στρατεύειν ἐπ' αὐ»τούς... κλπ.»

Τούτων οὖν οὕτως ἐχόντων εἰκὸς ἄλλῃ ἀκολουθῆσαι ὁδῷ, ἵνα πρὸς τὸ ζητούμενον ἐφικώμεθα. Ἐὰν ἀληθείας ἔχεσθαι δύνηται ἅμα μὲν ὅτι ὄντως ἐχρῆτο ὁ Πλούτ. ἐν ᾗ εἴρηταί μοι τάξει ταῖς πηγαῖς αὐτοῦ, ὅτι δῆλον ὅτι τὸν Ξενοφῶντα μὲν πρῶτον συνεβουλεύετο, δεύτερον δὲ τὸν Ἔφορον, τρίτον δὲ τὸν Θεόπομπον, ἅμα δὲ ὅτι ὁ Θεόπομπος καὶ τῷ Παυσανίᾳ πηγὴ πολλάκις ὑπέκειτο, ἔχοιμεν ἂν ἴσως ὑπολαβεῖν, ὅτι ἐνταῦθα τὸν Θεόπομπον εἶχε πρὸ αὐτοῦ ὁ ἡμέτερος βιογράφος. Εὕρηται γὰρ παρὰ Παυσανίᾳ (ὅπερ οὔτε παρὰ Ξενοφ. οὔτε παρὰ Διοδώρῳ, ὡς ἤδη γνωστὸν) τὰ αὐτὰ καὶ τὸν αὐτὸν σχεδὸν ἱστορούμενα τρόπον, ὥσπερ καὶ παρὰ Πλουτ., καθάπερ ἐκ τῆσδε καταφαίνεται τῆς παραθέσεως.

Πλούτ. 28.	*Παυσαν. 9, 13, 1.*
Ὁ Ἀγησίλ.... ἠρώτησεν, εἰ νομίζει δίκαιον εἶναι καὶ ἴσον αὐτονομεῖσθαι τὴν Βοιωνίαν. Ἀντερωτήσαντος	Χρόνῳ δ' ὕστερον κατὰ πρεσβείαν ἐς Σπάρτην ἥκοντα Ἐπαμεινώνδαν, ὅτε Λακεδαιμόνιοι συντίθεσθαι τοῖς

δὲ τοῦ Ἐπαμεινώνδου ταχὺ καὶ τεθαρρηκότος, εἰ κακεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησ. μετ' ὀργῆς ἐκέλευσε λέγειν σαφῶς αὐτόν, εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον....

Ἕλλησιν ἔφησαν εἰρήνην τὴν ἐπ' Ἀνταλκίδου καλουμένην, τηνικαῦτα Ἐπαμεινώνδαν ἤρετο Ἀγησίλαος εἰ κατὰ πόλιν ὀμνύναι Βοιωτοὺς ἐάσουσιν ὑπὲρ τῆς εἰρήνης· οὐ πρότερόν γε, εἶπεν, ὦ Σπαρτιᾶται, πρὶν ἢ καὶ τοὺς περιοίκους ὀμνύντας κατὰ πόλιν ἴδωμεν τοὺς ὑμετέρους.

Καὶ λείπει μὲν τὸ σφοδρὸν παρὰ τῷ Παυσανίᾳ καὶ ζωηρὸν τοῦ Ἀγησιλάου ὕφος, μεθ' οὗ διαλέγεται πρὸς τὸν Ἐπαμεινώνδαν, γίνονται δ' ὅμως οἱ λόγοι κατὰ τὸν αὐτὸν σχεδὸν τρόπον. Ὥσπερ γὰρ παρὰ τῷ Πλουτάρχῳ οὕτω καὶ παρὰ τῷ Παυσανίᾳ τηνικαῦτα λέγει ὁ Ἐπαμεινώνδας κατὰ πόλιν τοὺς Βοιωτοὺς ὀμνύναι ὑπὲρ τῆς εἰρήνης ἐάσειν, ἐὰν καὶ τοὺς τῶν Σπαρτιατῶν περιοίκους κατὰ πόλεις ἴδῃ ὀμνύντας («εἰ κἀκεῖνος οἴεται δίκαιον αὐτονομεῖσθαι τὴν Λα»κωνικήν»).

Τὸ αὐτὸ δ' οἶμαι ῥητέον καὶ περὶ ὧν μικρὸν κατωτέρω φέρεται «Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμει»νώνδου γέγραπται....» Καὶ πλείονα μὲν ἂν περὶ τῶν σημείων ἐγινώσκομεν, περὶ ὧν ὁ βιογράφος λέγει, εἰ τὸν τοῦ Ἐπαμινώνδου εἴχομεν βίον· οὐ μὴν ἀλλ' ἑτέρῳ δυνάμεθα, ὡς ἐγῷμαι, τρόπῳ πρὸς τοῦτ' ἀφικέσθαι. Γινώσκομεν γὰρ ἐξ ἄλλων τοῦ Πλουτ. βίων, ὅτι εἴωθεν ἐν δυσὶ (παραβλητέοι βίος Ἀγησιλ. 3, καὶ β. Λυσάνδ. 22), ἔστι δ' ὅτε καὶ ἐν τρισὶ (β. Ἀγησιλ. 26, Πελοπ. 15, Λυκοῦρ. 13), οἵπερ κοινὸν ἔχουσι πρὸς ἀλλήλους, ταὐτὰ ἱστορεῖν ὁτὲ μὲν μᾶλλον, ὁτὲ δ' ἧττον παραπλησίως. Οὐδένα δ' οἶμαι ἀμφιβάλλειν δεῖν, ὅτι ἐν τοῖς τοῦ Ἐπαμεινώνδου καὶ Πελοπίδου βίοις, τῶν διὰ στενῆς συνδεδομένων φιλίας καὶ τὸν αὐτὸν ὡς ἔπος εἰπεῖν διαγόντων βίον, ἔτι δὲ καὶ ἀμφοτέρων κατὰ τὴν ἐν Λεύκτροις βοιωταρχούντων μάχην, οὐκ ὀλίγαι εὕρηντο παραπλήσιοι ἀφηγήσεις. Ἐὰν τοίνυν τοῦτο ἀληθείας τινὸς καὶ ὀρθότητος ἔχηται, δυνάμεθα ταῦτα ἴσως ὡς εἰκόνα τῶν ἐν τῷ βίῳ τοῦ Ἐπαμεινώνδου ἀπολεσθέντων θεωρῆσαι σημείων, ἅπερ ἐν τῷ τοῦ Πελοπίδου φέρεται (κεφ. 20). Ἂν δὲ ταῦτα τοῖς παρὰ τῷ Παυσανίᾳ (9, 13, 3) παραβάλωμεν ἱστορουμένοις, τοσαύτην εὑρίσκομεν τὴν ὁμοιότητα, ὥστε ἐξ οὐδενὸς τρόπου ὀκνεῖν δεῖ ἀποφήνασθαι ταῦτα παρὰ τοῦ αὐτοῦ παρειλῆφθαι συγγραφέως. Οὗτος δ'

ουχ ὁ Ἔφορος δοκεῖ εἶναι· ὁ γὰρ Διόδωρος οὐ τούτων, ἀλλ' ἑτέρων μνημονεύει σημείων, ἅπερ οὔτε παρὰ τῷ Πλουτάρχῳ οὔτε παρὰ τῷ Παυσανίᾳ εὕρηται. Διόπερ δίκαιον ἴσως καὶ ἐνταῦθα τὸν Θεόπομπον ἐννοεῖν.

Ἀναγινώσκεται δὲ παρ' ἀμφοτέροις τάδε.

Πλουτ. Πελοπίδ. 20.

Ἔστι γὰρ ἐν τῷ Λευκτρικῷ πεδίῳ τὰ σήματα τῶν τοῦ Σκεδάσου θυγατέρων, ἃς Λευκτρίδας καλοῦσι διὰ τὸν τόπον· ἐκεῖ γὰρ αὐταῖς ὑπὸ ξένων Σπαρτιατῶν βιασθείσαις συνέβη ταφῆναι. Γενομένης δὲ οὕτω χαλεπῆς καὶ παρανόμου πράξεως, ὁ μὲν πατήρ, ὡς οὐκ ἔτυχεν ἐν Λακεδαίμονι δίκης, ἀρὰς κατὰ τῶν Σπαρτιατῶν ἀρασάμενος ἔσφαξεν ἑαυτὸν ἐπὶ τοῖς τάφοις τῶν παρθένων, χρησμοὶ δὲ καὶ λόγια τοῖς Σπαρτιάταις ἀεὶ προὔφαινον εὐλαβεῖσθαι καὶ φυλάττεσθαι τὸ Λευκτρικὸν μήνιμα, μὴ πάνυ ....

Παυσαν. 9, 13, 3.

Ἐλέγετο δὲ καί μήνιμα εἰς τοὺς Λακεδαιμονίους ἐκ τῶν θυγατέρων εἶναι τοῦ Σκεδάσου. Σκεδάσῳ γὰρ περὶ Λεῦκτρα οἰκοῦντι θυγατέρες Μαλπία γίνεται καὶ Ἱππώ· ταύτας εἰς ὥρας ἤδη προηκούσας Λακεδαιμονίων ἄνδρες βιάζονται παρὰ Θέμιδα... καὶ αἵ τε παρθένοι παραυτίκα, οὐ γὰρ σφίσιν ἀνεκτὰ ἐφαίνετο εἶναι τὰ τῆς ὕβρεως, ἀπάγχουσιν αὑτάς· καὶ ὁ Σκέδασος ὡς ἐς Λακεδαίμονα ἐλθόντι οὐδεμία αὐτῷ ἐγένετο δίκη, οὕτως ἐς τὰ Λεῦκτρα ἐπανήκων ἑαυτὸν διεργάζεται.

Τελευτῶν φησιν ὁ Πλούτ. τὴν μεγάλην ἐν Λεύκτροις μάχην, ἐν ᾗ τὸ ἄνθος τῶν Σπαρτιατῶν καὶ ὁ βασιλεὺς Κλεόμβροτος ἔπεσαν, τῇ πέμπτῃ συμβῆναι τοῦ Ἑκατομβαιῶνος, εἴκοσιν ἡμερῶν διαγενομένων, ἀφ' οὗ τὰς σπονδὰς ἐν Λακεδαίμονι ἐποιήσαντο (ἐν τέλει τοῦ κεφ. 28). Καὶ ἐνταῦθα δὲ οὐ τῷ Ξενοφῶντι ουκολούθησεν ὁ βιογράφος, οὐδὲν περὶ τούτου λέγοντι, ἀλλ' ἤτοι τῷ Ἐφόρῳ ἢ τῷ Καλλισθένει· ἀμφότεροι γὰρ ἱστορήκασι ταῦτα. Τούτοις δ' ἄν τις τεκμηρίῳ χρήσαιτο τούτου, ὧν ὑπὸ τοῦ Πλούτ. ἐν βίῳ Καμίλλου ἐν κεφ. 19 μνεία γίνεται· φέρεται γὰρ ἐκεῖ· «Τοῦτο μὲν τοίνυν Βοιωτοῖς Ἱπποδρομίου μηνός, ὡς δ' Ἀθηναῖοι καλοῦσιν Ἑκατομβαιῶνος ἱσταμέ»νου πέμπτῃ δύο λαβεῖν συνέβη νίκας ἐπιφανεστάτας, αἷς τοὺς Ἕλ»ληνας ἠλευθέρωσαν, τήν τε περὶ Λεῦκτρα καὶ τὴν ἐπὶ Κερησσῷ.... »ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμάστης καὶ Φύλαρχος ἱστορή»κασιν.» Εἰ δέ μοι αἵρεσις τούτων δοθείη, ἑλοίμην ἂν τὸν Ἔφορον, τούτῳ γὰρ ἐνταῦθα μᾶλλον τῶν ἄλλων φαίνεται ὁ Πλούταρχος ἀκολουθῶν.

Πρὶν δὲ πέρας τῷ προκειμένῳ ἐπιθῶμεν κεφ., ἔτι προσθεῖναι βουλόμεθα, ὅτι κατὰ τὴν συγγραφὴν τούτου καὶ ἐκ τῆς κυρίας ἠρύσατό τινα πηγῆς ὁ Πλούταρχος, ὧν δύο μάλιστα αἴρομεν. Πρῶτον μὲν γὰρ τῷ Ξενοφῶντι ἀκολουθῶν λέγει χιλίους Λακεδαιμονίων ἀποθανεῖν καὶ τὸν βασιλέα Κλεόμβροτον (Πλούτ. 28 «Ἀπέθανον δὲ χίλιοι »Λακεδαιμονίων καὶ Κλεόμβροτος ὁ βασιλεύς,» καὶ Ξενοφ. Ἑλλην. »ἱστορ. 6, 4, 15 «οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων »Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους...»), τοῦ Διοδώρου (15, 56) ἱστοροῦντος οὐκ ἐλάττους μὲν τῶν τετρακισχιλίων Λακεδαιμονίων, περὶ τριακοσίους δὲ τῶν Βοιωτῶν πεσεῖν. Ἔπειτα δὲ παραπλησίως εὕρηται παρ' ἀμφοτέροις τὰ περὶ τοῦ θανάτου τοῦ Κλεωνύμου ἱστορούμενα, τοῦ υἱοῦ τοῦ Σφοδρία.

Πλούτ. 28.	*Ξενοφ. Ἑλλ. 5, 4, 33.*
Ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου τὸν καλὸν τρὶς πεσόντα πρὸ τοῦ βασιλέως καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν.	Καὶ οὐκ ἐψεύσατο (Κλεώνυμος), ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος.... τρὶς πεσὼν πρῶτος τῶν πολιτῶν ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανεν.

Ἐνθαρρυθέντες ὑπὸ τοῦ μεγίστου περὶ Λεῦκτρα εὐτυχήματος οἱ Θηβαῖοι καὶ μεγάλα τῇ ἑαυτῶν πεποιθότες ἀρετῇ, ἔτι δ' ἐλπίζοντες ῥαδίως τὴν τῶν Λακεδαιμονίων θραύσειν δύναμιν καὶ τὴν τῆς Ἑλλάδος προσκτήσεσθαι ἡγεμονίαν, οὐ πάνυ τῶν Ἀθηναίων ἐν τῷ παρόντι ἰσχυρῶν ὄντων τοῦτ' ἀξιοῦν, οὐκ ἐπὶ τὴν Λακωνικὴν ὤκνησαν στρατεῦσαι καὶ ἐν αὐτῇ πολεμῆσαι τῇ Σπάρτῃ τοῖς Λακεδαιμονίοις. Ἔχων οὖν ὁ Ἐπαμεινώνδας οὐκ ἐλάττονας τετρακισμυρίων ὁπλιτῶν, πολλῶν ψιλῶν καὶ ἀόπλων πρὸς ἁρπαγὴν συνακολουθούντων, εἰσέβαλεν εἰς τὴν Λακωνικὴν καὶ τὴν πορείαν ἐπὶ τὴν Σπάρτην ἐποιεῖτο. Οὔσης δὲ ταύτης τῆς πρώτης ἓν ἔτεσιν ἑξακοσίοις εἰσβολῆς, ὡς ὁ Πλούταρχός φησι (31 «Ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' οὗ κατῴκουν »τὴν Λακεδαίμονα Δωριεῖς· ἐν δὲ τούτῳ παντὶ τότε πρῶτον ὤφθησαν »ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν»), μεγίστη ἦν ἡ ἐπὶ τούτῳ ταραχὴ τῶν Σπαρτιατῶν. Οὐ μέν τοι τὸ θάρρος αὐτῶν ἀπέβαλον, ἀλλὰ παραταχθέντες ὑπὸ τοῦ βασιλέως Ἀγησιλάου παρὰ τὸν Εὐρώταν, ὃν οἱ πόλεμιοι διαβαίνειν ἐπεχείρουν, περιέμενον αὐτούς.

Οὐκ ἰσχύσας δὲ ὁ τῶν πολεμίων ἀρχηγὸς τοὺς Λακεδαιμονίους εἰς μάχην ἐξαγεῖν καὶ τὸν Ἀγησίλαον προκαλέσασθαι, ἀναζεύξας πάλιν καὶ καὶ τὴν χώραν πορθῶν ἀνεχώρησεν ἐκ τῆς Λακωνικῆς. «Ἀναχωρῆσαι »δὲ τοὺς Θηβαίους,» φησὶν ὁ Πλούτ. ἐκ κεφ. 32, «ἐκ τῆς Λακωνικῆς »οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξα»μένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆνας ἐμμεμενη»κότας.... Θεόπομπος δέ φησιν, ἤδη τῶν βοιωταρχῶν ἐγνωκότων »ἀπαίρειν». Ἐκ τῶν τελευταίων τοῦ Πλουτάρχου λέξεων, σαφῶς, ὡς ἔμοι γε δοκεῖ, δηλοῦται, τίσι μάλιστα ἀκολουθῶν τὰ ἐν τοῖς κεφ. 31—36 ἱστορούμενα ἔγραψε. Καὶ τίνες μὲν οἱ ταῦτα λέγοντες εἰσιν, ἀρκούντως ἐν τοῖς ἔμπροσθεν, οἶμαι, ἐδηλώθη. Ὅτι δὲ τούτους ὄντως συνεβουλεύετο, πᾶς τις πείθεται τὰ μὲν ἐὰν ταῦτα ταῖς παρ' ἄλλοις φερομέναις συγγενέσιν ἀφηγήσεσι παραβάλῃ, τὰ δὲ ἐὰν ἀναλογισθῇ, ὅτι οἱ τρεῖς οὗτοι, ἐπιφανέστεροι τῶν τότε ἱστορικῶν, οὐ μικρὸν ἐπεμελοῦντο ὡς ἀκριβέστατα τὰ τῶν χρόνων ἐκείνων περιγράψαι γεγονότα, καὶ τὰ καθ' ἕκαστα τῶν τῶν Θηβαίων πρὸς τοὺς Σπαρτιάτας ἀγώνων ἱστορῆσαι· καὶ εἰκότως· οὐ γὰρ περὶ μικροῦ οἱ ἀγῶνες ἦσαν ἐκεῖνοι, ἀλλὰ περὶ τῆς ἡγεμονίας τῆς Ἑλλάδος, ἣν ἐπὶ πεντακόσια μάλιστα οἱ Λακεδαιμόνιοι ἔτη ἔχοντες ἐκινδύνευον ἀποβαλεῖν, ὡς ὁ Διοδ. ἐν 15, 51 φησὶν «ἐπὶ δὲ τούτων, Λακεδαιμονίων ἔτη σχεδὸν πεντακόσια τῆς »Ἑλλάδος ἐχόντων τὴν ἡγεμονίαν, τὸ θεῖον προεσήμαινεν αὐτοῖς τῆς »ἀρχῆς τὴν ἀποβολήν».

Τούτων δὲ τὸ κεφ. 31 παρέχει τεκμήριον. Τούτου γὰρ τὸ μὲν πρῶτον μέρος τῷ Ἐφόρῳ ἀποδοτέον, ἀφηγήσει τινὶ τοῦ Διοδώρου σανᾷδον (15, 56), ἐν ᾗ τό τε τοῦ Ἐπαμεινώδου ὄνομα καὶ ὁ τῶν εἰσβαλόντων πολεμίων ἀριθμὸς (ἑπτακισμυρίων) φέρεται, περὶ ὧν οὐδεμίαν ποιεῖται ὁ Ξενοφῶν μνείαν. Ἴσως δ' ἄν τις ἐκ τῆς διαφορᾶς περὶ τούτου ἀμφίβαλοι, ἣ ἐν τῷ «ἦν μὲν δὴ χρόνος...» ὑπάρχει· ὁ μὲν γὰρ Πλούτ. φησιν «Ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων *ἑξακοσίων*, ἀφ' οὗ »κατῴκουν Λακεδαίμονα Δωριεῖς», παρὰ δὲ τῷ Διοδ. (15, 56) ἀναγινώσκεται «οἱ δὲ Λακεδαιμόνιοι *πεντακόσια* ἔτη τετηρηκότες ἀπόρ»θητον.» Ἐὰν δ' ὅμως ἕτερόν τι τοῦ Διοδώρ· παραβάλωμεν χωρίον, ἐν ᾧ αὐτὸς λέγει «Λακεδαιμονίων ἔτη σχεδὸν πεντακόσια τῆς Ἑλ»λάδος ἐχόντων τὴν ἡγεμονίαν» (15, 51), καὶ ἐννοήσωμεν ὅτι ἑξακόσια μὲν ἔτη ἦν, ἀφ' οὗ τὴν Λακεδαίμονα κατεῖχον, πενταχόσια δέ, ἀφ' οὗ εἶχον τὴν ἡγεμονίαν τῆς Ἑλλάδος, πᾶσαν οἶμαι ἀμφιβολίαν

ἐκλείψειν. Τὰ δ' εὐθὺς ἀκολουθοῦντα «ἀλλ' ἀδῄωτον καὶ ἄθικτον οὖσαν »ἐμβαλόντες ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς »πόλεως, μηδενὸς ἐξιόντος», τῇ Ἑλληνικῇ ἱστορίᾳ τοῦ Ξενοφῶντος 6, 5, 27 παραβληθῆναι δύναται, ἔνθα φέρεται· «Καὶ διὰ μὲν τῆς γεφύρας οὐδ' ἐπεχείρουν διαβαίνειν ἐπὶ τὴν πόλιν . . . . . ., ἐν »δεξιᾷ δ' ἔχοντες τὸν Εὐρώταν παρῄεσαν κάοντες καὶ πορθοῦντες »πολλῶν κἀγαθῶν μεστὰς οἰκίας»· ὅτι τελευταῖον τὰ μετὰ ταῦτα παρὰ τοῦ Θεοπόμπου παρειλημμένα ἐστί, ὑπὸ τοῦ Πλουτ. διδασκόμεθα, διαρρήδην παρατιθεμένου αὐτόν. Βουλοίμην δ' ἂν καὶ τὸ «Οὐχ »ἧττον δὲ τούτων ἐλύπουν . . . » τῷ αὐτῷ ἀποδοθῆναι, ἅμα μὲν ὅτι συνάπτεται τοῦτο ἀμέσως τοῖς ἡγουμένοις, ἅμα δὲ ὅτι καὶ ἐν αὐτῷ ὑπάρχει ὅμοιον ῥητορικὸν ὕφος, εἰ ὀρθῶς ὑπολαμβάνω, ὥσπερ καὶ ἐν τῷ προηγηθέντι χωρίῳ («Οὐχ ἧττον *ἐλύπουν* τὸν Ἀγησίλαον οἱ κατὰ »τὴν πόλιν *θόρυβοι* καὶ *κραυγαὶ* καὶ *διαδρομαὶ* . . . . . ἀλλὰ παντά- »πασιν ἐκφρόνων οὐσῶν πρός τε *τὴν κραυγὴν* καὶ *τὸ πῦρ* τῶν πολεμίων. »*Ἠνία* δὲ καὶ τὸ τῆς δόξης...») Οὐ ταὐτὸ δ' ὅμως περὶ τοῦ τελευταίου εἰπεῖν ἔχομεν, ὅπερ ἐνὶ *λέγεται* ἐκφέρεται, οὐδὲ θετικῶς ὁρίσαι πόθεν τοῦτο παρείληφεν ὁ βιογράφος. Ὅθεν χαίρειν ἐῶντες πᾶσαν περὶ τούτου ἀπόφανσιν εἰς τὰ ἑπόμενα προβαίνομεν.

Κεφ. 32. Καὶ τούτου παρὰ τοῦ Ἐφόρου ἡ ἀρχὴ παρειλῆφθαι δοκεῖ, ὡς ἄν τις ἐκ τούτων εἰκάσειεν, ἅπερ ὁ Διόδ. ἱστορεῖ. Καὶ ἀληθὲς μὲν ὅτι εὕρηται παρ' αὐτῷ ἐπίθεσίς τις τῶν Σπαρτιατῶν ἐπὶ τοὺς Θηβαίους τὸν ποταμὸν διαβαίνοντας («συντάξαντες οἱ Λακεδαιμό- »νιοι) τοὺς νέους ἐξεχύθησαν ἐπὶ τοὺς πολεμίους, καὶ προσπεσόντες »ἄφνω τοῖς διαβαίνουσι πολὺν ἐποιοῦντο φόνον» Διόδ. 15, 65), περὶ οὗ παρὰ Πλουτ. οὐδὲν εὕρηται, τοσαύτην δ' ὅμως ἔχει τἆλλα (τὰ πρὸ τῆς ἐπιθέσεως καὶ τὰ μετ' αὐτὴν) τὴν ὁμοιότητα παρ' ἀμφοτέροις, ὥστε μόλις ἄν τις ἀμφιβάλλοι περὶ τῆς κοινῆς αὐτῶν πηγῆς. Ἵνα δὲ ἐναργέστερον καταφανῇ τοῦτο, ἀμφότερα παρατίθεμαι τὰ χωρία.

Πλούτ. 32.

Ὁ δὲ Ἀγησίλαος, ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ παρετάξατο πρὸ

Διόδ. 15, 65.

Τῶν δὲ περὶ τὸν Ἐπαμεινώνδαν διὰ τοῦ Ταϋγέτου καταβαινόντων τὸν ποταμὸν σφοδρὸν ὄντα τῷ ῥεύματι κατὰ τὴν χειμερινὴν ὥραν, ὁρῶντες οἱ Λα-

τῶν μέσων καὶ ὑψηλῶν. Ἐρρύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων, καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις.... Ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμεινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν ἐπόρθει τὴν χώραν.

κεδαιμόνιοι τεταραγμένην τὴν δύναμιν τῶν ἐναντίων διὰ τὴν χαλεπότητα τῆς διαβάσεως, καιρὸν ἔλαβον πρὸς τὴν ἐπίθεσιν,... αὐτοὶ δὲ (οἱ περὶ τὸν Ἐπαμειν.) προσελθόντες τῇ πόλει προεκαλοῦντο τοὺς Σπαρτιάτας εἰς παράταξιν... Ἀποκριναμένων δὲ τῶν Σπαρτιατῶν ὅτι καιρὸν λαβόντες εὔθετον διαγωνιοῦνται, ἀπηλλάγησαν ἀπὸ τῆς πόλεως. Πᾶσαν δὲ τὴν Λακωνικὴν δῃώσαντες... ἀπεχώρησαν εἰς τὴν Ἀρκαδίαν.

Ἐν τῷ αὐτῷ δ' ἱστορεῖ κεφ. ὁ Πλούτ. περὶ δύο συνωμοσιῶν, μετὰ τῶν πολεμίων τὴν ἀναχώρησιν ἐκ τῆς Λακωνικῆς ἀνακαλυφθεισῶν. Οὐκ εἰπεῖν δ' ἔχοντες τίνες οἱ συγγραφεῖς, οἷς ὀφείλεται τὰ περὶ τούτων, τῷ τὴν πρώτην τούτων παραθέσθαι ἀρκούμεθα καὶ ὅσα περὶ αὐτῆς παρὰ Κορν. Νεπ. φέρεται.

Πλούτ. 32.

Ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν ὡς διακόσιοι συστραφέντες κατελάβοντο τὸ Ἰσσώριον, ... εὐερκῆ καὶ δυσεκβίαστον τόπον.... φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν, αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς ἱκέτου προσῄει, βοῶν ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. Οἱ δὲ ἀκούσαντες ἥσθησαν, οἰόμενοι λανθάνειν, καὶ διαστάντες ἐπὶ τοὺς τόπους, οὓς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε, τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκά τινας συλλαβὼν νυκτὸς ἀπέκτεινεν.

Κορνήλ. Νέπως Ἀγησ. 6.

In quo quidem discrimine celeritas ejus consilii saluti fuit universis. Nam cum quidem adulescentuli hostium adventu perterriti ad Thebanos transfugere vellent et locum extra urbem editum cepissent, Agesilaus, qui porniciosissimum fore videret, si animadversum esset quemquam ad hostis transfugere conari, cum suis eo venit atque, ut si bono animo fecissent, laudavit consilium eorum, quod eum locum occupassent; id se quoque fieri debere animadvertisse. Sic adulescentis simulata laudatione recuperavis et adjunctis de suis comitibus locum tutum reliquit [1]

[1] Περὶ τῶν ἐν τούτοις διαφορῶν παρβλ. Nipperdey σελ. 143—44, παρατήρησις.—Ἴδ. καὶ Αἰλιαν. ποικ. ἱστορ. 14, 27.

Παρατρέχοντες τὸ κεφ. 33, οὗ τινος τὸ μέγιστον μέρος γνῶμαι, ὡς ἔμοι γε δοκεῖ, τοῦ βιογράφου εἰσίν, ὅπερ καὶ περὶ τοῦ 30 ἐποιησάμεθα, ἀδυνάτου τῆς εὑρέσεως οὔσης τῶν πηγῶν αὐτοῦ, ἐξετάζομεν τὸ

Κεφ. 34. Τούτου παρὰ τοῦ βιογράφου αὐτοῦ τὰς πηγὰς μανθάνομεν ῥητῶς τὸν Ξενοφ. καὶ τὸν Καλλισθένην ὀνομάζοντος. Εἰκὸς οὖν πρῶτον μὲν ἰδεῖν τι καὶ πόσον ἑκατέρῳ τούτων ἀποδοτέον, καὶ δεύτερον ζητῆσαι εἰ καὶ ἕτερον πρὸς τούτοις συνεβουλεύσατο ὁ Πλούταρχος. Καὶ περὶ τῆς ἀληθείας μὲν τοῦ δευτέρου ῥᾳδίως πάνυ πείθεται πᾶς ὁ τὰς πρώτας παραβάλλων λέξεις «Οἰκιζομένης δὲ τῆς Μεσσήνης....» τοῖς τοῦ Διοδ. 15, 68 «Ἐπαμεινώνδας δὲ φύσει μεγαλεπίβολος ὢν »συνεβούλευε τοῖς τε Ἀρκάσι καὶ τοῖς ἄλλοις συμμάχοις οἰκίσαι τὴν »Μεσσήνην....» Περι δὲ τοῦ πρώτου παρατηρητέον, ὅτι τὸ τοῦ Καλλισθένους ὄνομα οὐκ ὀρθῆς τῶν πηγῶν καταλήψεως αἴτιον ἐγένετο. Ὅπως δ' ἐναργέστερον δηλωθῇ τὸ πρᾶγμα, οὐκ ἀνοίκειον εἶναι νομίζομεν διὰ μακροτέρων περὶ αὐτοῦ εἰπεῖν. Ἱστορῶν ὁ βιογράφος περὶ τῆς τῶν Μαντινέων ἀποστασίας ἀπὸ τῶν Θηβαίων καὶ τῆς τοῦ Ἀγησιλάου εἰς Μαντίνειαν στρατείας ταῦτα λέγει «....αἰσθόμενος ὁ Ἐπα»μεινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον ἀνέζευξε νυκτὸς ἐκ Τε»γέας... καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν Ἀγησίλαον ἔρημον ἐξαί»φνης καταλαβεῖν τὴν πόλιν. Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησίν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ...» Ἐκ ταύτης οὖν πλανηθεὶς τῆς προσθήκης τοῦ ὀνόματος τοῦ Καλλισθένους, ὡς ἐγῷμαι ὁ ἐκδότης τῶν ἀποσπασμάτων αὐτοῦ[1], ἅπαν τὸ χωρίον «Ἐπεὶ γὰρ οἱ Μαντινεῖς—εἰς τὴν Σπάρτην·» τῷ Καλλισθένει ἀποδίδωσιν, οὐκ ὀρθῶς, ὡς ἔμοι γε δοκεῖ. Πρῶτον μὲν γὰρ οὐδείς ἐστιν, ὅστις ἐπιμελῶς τὸ προκείμενον διεξιὼν χωρίον καὶ ἀκριβῶς τὴν τῶν λέξεων θέσιν ἐπισκοπῶν οὐχ ὁμολογήσειεν, ὅτι μόνον τὸ «Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησίν....ἐξαγγείλαντος» τοῦ Καλλισθένους ἐστίν· ἔπειτα δὲ εἴ τις τὰς τοῦ Πλουτάρχου φράσεις ταῖς τοῦ Ξενοφ. (Ἑλλην. ἱστορ. 7, 5, 3 καὶ 9) παραβάλοι, οὐ χαλεπῶς πείθεται, ὅτι αὐτὰς τῷ Ξενοφ., ἀλλ' οὐ τῷ Καλλισθένει ἀποδοθῆναι δεῖ. «*Ἐπεὶ* κατεμάνθανεν (ὁ Ἐπαμειν.) τοὺς ἀντιπάλους

[1] Arrianus. Fragmenta seriptorum de rebus Alex. Magni. Pseudocallisthenes v. Dübner u. Müller (Didot) Ἀπόσπασμα 14.

»*μεταπεμπομένους Ἀγησίλαον καὶ πάντας τοὺς Λακεδαιμονίους* «*καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον*» λέγει ὁ Ξενοφῶν (7, 5, 9). «*Ἐπεὶ* οἱ Μαντιεεῖς... *μετεπέμποντο τοὺς Λακεδαιμονίους* «*αἰσθόμενος ὁ Ἐπαμεινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον*,» ἐπαναλαμβάνει ὁ Πλούταρχος. Κατωτέρω εὕρηται παρὰ Ξενοφῶντι «*ἔλαβεν ἂν τὴν πόλιν* ὥσπερ νεοττιὰν παντάπασιν *ἔρημον* τῶν ἀμυνομένων» τοῖς αὐτοῖς δὲ σχεδὸν χρώμενος λέξεσι λέγει καὶ ὁ Πλούτ. «καὶ μικρὸν ἐδέησε... *ἔρημον* ἐξαίφνης *καταλαβεῖν τὴν πόλιν*.»

Τῶν αὐτῶν καὶ ὁ Διόδ. 15, 82—83 διὰ μακρῶν μνημονεύει. Οὐχ εὑρεῖν δὲ δυνάμενοι ἐκ τίνος τὰ τοῦ Ἰσάδα ὁ Πλούτ. ἠρύσατο, παρατιθέμεθα μόνον ὅσα περὶ τούτου ὁ Αἰλιανὸς ἱστορεῖ ἐν ποικ. ἱστ. 6, 3 «Ὅτι Λακεδαιμόνιοι Ἰσάδαν, ἔτι παῖδα ὄντα, καὶ μήπω τοῦ »νόμου καλοῦντος αὐτὸν εἰς ὅπλα, ὅτι ἐκ τοῦ γυμνασίου ἐκπηδή»σας ἠρίστευσεν, ἐστεφάνωσαν μέν. Ὅτι δὲ πρὸ τῆς ἀπαιτουμένης »ἡλικίας, καὶ μὴ τὰ ἐπιχώρια ἔχων ὅπλα ὥρμησεν εἰς τοὺς ἐχθρούς, »ἐζημίωσαν.»

Κεφ. 35. Ἐν τῷ προκειμένῳ, ἐν ᾧ ἡ ἐν Μαντινείᾳ μάχη μνημονεύεται καὶ ὁ θάνατος τοῦ Ἐπαμεινώνδου, δύο δοκεῖ ὁ βιογράφος συγγραφεῖς πρὸ αὐτοῦ ἐσχηκέναι, πρῶτον μὲν τὸν Διοσκουρίδην, ὃν αὐτὸς ὀνομάζει, ἔπειτα δὲ τὸν Ἔφορον. Καὶ οὐχ ὡρισμένως μὲν εἰπεῖν ἔχομεν τί μέρος τοῦ Διοσκουρίδου ἐστίν, εἰκάζομεν μέν τοι ὅτι τοῦτο μέχρι τοῦ «εἰς τῶν Ἀντικράτους προγόνων» διήκει. Τῇ δ' ἐκδοχῇ, ὅτι καὶ τὸν Ἔφορον ἐνταῦθα συνεβουλεύσατο ὁ βιογράφος συνηγορεῖ ἡ παραπλησία περὶ τούτων ἀφήγησις τοῦ Διοδώρου 15, 89, ἣν καὶ παρατιθέμεθα. Τῇ δ' αὐτῇ ἀκολουθῶν, ὡς φαίνεται, πηγῇ καὶ ὁ Κορνήλ. Νέπ. ὁμοίως ἀφηγεῖται ταῦτα ἐν βίῳ Ἐπαμεινώνδου 9, 1—2.

Πλούτ. 35.	*Διόδωρος 15, 89.*
Μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ Ἐπαμεινώνδου γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτούς, ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐχ ἔχοντας. Ἐπεὶ δὲ οἱ λοιποὶ πάντες	Ἐπαμεινώνδας μὲν οὖν παρὰ πᾶσι περιβόητον ἔχων τὴν ἀρετήν, τοιαύτης ἔτυχε καταστροφῆς τοῦ βίου. Οἱ δὲ Ἕλληνες μετὰ τὴν μάχην.... τῇ συνεχείᾳ τῶν κινδύνων καταπονούμενοι, διελύσαντο πρὸς ἀλλήλους· συνθέμενοι δὲ κοινὴν εἰρήνην καὶ συμ-

ἐδέχοντο καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν.	μαχίαν κατέταττον ἐν τῇ συμμαχίᾳ καὶ τοὺς Μεσσηνίους. Οἱ δὲ Λακεδαιμ. διὰ τὴν πρὸς τούτους ἀκατάλλακτον ἀλλοτριότητα τῶν σπονδῶν οὐ προείλοντο κοινωνεῖν καὶ μόνοι τῶν Ἑλλήνων ὑπῆρχον ἔκσπονδοι.

Ἱκανῶς, οἶμαι, ἐκ τῆς ἐπισκοπήσεως τῶν τῆς τρίτης τάξεως κεφαλαίων κατεδείχθη, μάλιστα δ' ἐκ τῶν τελευταίων (31, 32, 34, 35) ὅ,τι ἔμπροσθεν περὶ τῶν τριῶν εἴρηταί μοι ἱστορικῶν. Διότι δὲ ἐν τούτοις τὸν Ἔφορον μάλιστα προὐτίμησε, ἐν δευτέρᾳ τὸν Ξενοφ. καταθεὶς μοίρᾳ, ῥᾳδίως ἄν τις γνοίη, εἰ ἐνθυμηθείη ὅτι οὐκ ὀλίγα τῶν ὑπ' ἐκείνου ἱστορουμένων οὐ παρὰ τούτῳ εὕρηται. Ἱστορῶν γὰρ ὁ Ξενοφ. τὰ τῶν τελευταίων ἐτῶν γεγονότα, ὡς τὴν τῶν Θηβαίων εἰσβολὴν εἰς τὴν Λακωνικήν, ἡγουμένου τοῦ Ἐπαμεινώνδου, καὶ τὴν ἐν Μαντινείᾳ μάχην καὶ ἄλλα, ἐν οἷς ἐν κινδύνῳ τὰ τῶν Σπαρτιατῶν ἦν, πολλῶν πλείστου ἀξίων διὰ βραχέων μνημονεύει, ἄλλα δ' ἐν σιωπῇ παρέρχεται, ὡς τὰ τοῦ Ἐπαμεινώνδου· μέγας γὰρ ὁ Λακωνισμὸς αὐτοῦ ἦν. Διὰ ταῦτα οὖν οὐκ ἐδύνατο ὁ Πλούτ., ὁ τῆς ἀληθοῦς μόνον καὶ ἀκριβοῦς τῶν γεγονότων ἱστορήσεως φροντίζων, τῷ Ξενοφῶντι χρήσασθαι, ἀλλ' ἄλλῳ ὤφειλε καταφυγεῖν, ὅς περ πλείονα καὶ τῷ σκοπῷ ἁρμοδιώτερα αὐτῷ παρασχεῖν ἐπηγγέλλετο. Παρ' Ἐφόρω τοίνυν ὧν ἔχρῃζεν εὑρίσκων, τούτῳ καὶ ἠκολούθει καὶ τοῦ Ξενοφ. προὐτίμα. Ὅτι δὲ ὄντως ὁ Ἔφορος διὰ μακρῶν τήν τε ἐν Λεύκτροις μάχην καὶ τὰ μετὰ ταύτην ἱστόρηκεν, ἐννοήσειεν ἄν τις τὰ μὲν ἐκ τῆς μακρᾶς τοῦ Διοδώρου καὶ ἀκριβοῦς τούτων ἀφηγήσεως, τὰ δὲ ἔκ τινος ὑπὸ τοῦ Πλουτάρχου (περὶ φλυαρίας 22) ἡμῖν διασωθέντος ἀποσπάσματος τοῦ Ἐφόρου[1] καὶ ἔχοντος ὧδε «Ὡς τῶν παρ' ἡμῖν τις κατὰ τύχην ἀνεγνωκὼς δύο τῶν Ἐφόρου βιβλίων ἢ »τρία, πάντας ἀνθρώπους κατέτριβε καὶ πᾶν ἀνάστατον ἐποίει συμ»πόσιον, ἀεὶ τὴν ἐν Λεύκτροις μάχην καὶ τὰ συνεχῆ διηγούμενος, »ὅθεν ὁ Ἐπαμεινώνδας παρωνύμιον ἔσχεν.»

[1] Müller Fragm. histor. gr. I, 147.

4.

Μικρὸν ἔμπροσθεν εἴρηταί μοι, ὅτι μετὰ τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὸν τοῦ Ἐπαμεινώνδου θάνατον εἰρήνη ἐγένετο ἐν τοῖς Ἕλλησιν, ἧς μόνοι ἀπέστησαν οἱ Λακεδαιμόνιοι καὶ αὐτοῖς μόνοις πόλεμος ἦν, ἐλπίζουσι τὴν Μεσσήνην ἀναλήψεσθαι, ὡς ὁ Πλούτ. φησιν (κεφ. 35). Οἰόμενος οὖν ὁ Ἀγησίλαος ἀνάξιον ἑαυτοῦ τὸ ἄπρακτον ἐν τῇ πόλει ζῆν καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον, ἤθροισε μισθοφόρους, ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε, καὶ πλοῖα πληρώσας καὶ τριάκοντα συμβούλους μεθ' ἑαυτοῦ ἔχων ἔπλευσεν εἰς Αἴγυπτον, βοηθήσων τῷ Τάχῳ, τοῦ βασιλέως ἀποστάντι τῶν Περσῶν (κεφ. 36). Μετὰ δὲ τὴν τοῦ Τάχω ἐπὶ τοὺς Φοίνικας στρατείαν, ἀπέστη ἐν Αἰγύπτῳ Νεκτάναβις, ἀνεψιὸς τοῦ Τάχω, καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἐκηρύχθη. Καὶ μετεπέμψατο τὸν Ἀγησίλαον, ὃς τῷ Τάχῳ συνεπεπλεύκει εἰς Φοινίκην, αὐτῷ ἀξιῶν βοηθεῖν· λαβὼν δὲ οὗτος τοὺς μισθοφόρους ἀπὸ τοῦ Τάχω μετέστη πρὸς αὐτὸν (κεφ. 37). Ἐπεὶ δὲ μετὰ πολλὰς τοῦ πολέμου τύχας τῷ Αἰγυπτίῳ τὰ πράγματα ἀσφαλίσαι κατώρθωσε, καὶ μετὰ πολλῶν ἀπήει τιμῶν καὶ δωρεῶν καὶ διακοσίων τριάκοντα ταλάντων, τελευτᾷ παρὰ τὴν Λιβύην ἐν χωρίῳ ἐρήμῳ, Μενελάου λιμένι καλουμένῳ, οὐ τὴν φίλην αὐτοῦ ἐπανιδεῖν πατρίδα, ὑπὲρ ἧς τοσαῦτα ἐπόνησεν, εὐτυχήσας, καὶ τὴν προτέραν αὐτῇ ἀποδοῦναι δόξαν.

Ταῦτα ἐστίν, ἅπερ περὶ τῶν τελευταίων τοῦ Ἀγησιλάου κατορθωμάτων ἱστορεῖ ὁ ἡμέτερος βιογράφος (κεφ. 36 μέχρι τέλους). Πόθεν ταῦτα οὗτος ἠρύσατα οὐ ῥᾴδιον εἰπεῖν. Καὶ ὅτι μὲν οὐδὲν παρὰ τοῦ Ξενοφῶντος παρέλαβεν, οὐδενὸς δεῖται λόγου, ἅτε γνωστοῦ ὄντος, ὅτι οὗτος εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὸν θάνατον τοῦ Ἐπαμεινώνδου τὴν Ἑλληνικὴν κατέστρεφεν ἱστορίαν, ὡς καὶ ὁ Διόδωρος (15, 89) διδάσκει λέγων «Τῶν δὲ συγγραφέων Ξενοφῶν μὲν »ὁ Ἀθηναῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν ἐπὶ τὴν Ἐπαμεινώνδου τελευτήν.» Καὶ περὶ τοῦ Ἐφόρου δὲ οὐδὲν μὲν ἔχομεν θετικὸν εἰπεῖν, εἰκάζομεν μέν τοι ἐξ ὧν παρὰ Διοδώρῳ φέρεται, ὅτι οὐδὲ τούτῳ ὁ Πλούτ. ἠκολουθήκει· τοσαῦται γὰρ παρ' ἀμφοτέροις εὕρηνται διαφοραὶ ἐν τῇ τῶν γεγο-

νότων ἀφηγήσει, ὥστε οὐ ῥᾳδίως ἄν τις εἴποι, τούτους ἐκ τοῦ αὐτοῦ ἠρύσθαι συγγραφέως. Ἡγούμενοι δὲ οὐ μικροῦ ἀξίας ταύτας πρὸς ἐξακρίβωσιν τοῦ πράγματος, διὰ μακροτέρων περὶ αὐτῶν βουλόμεθα εἰπεῖν.

Ἱστοροῦντος τοῦ Πλουτ. (κεφ. 36) τὸν Ἀγησίλαον μισθοφόρους ἀθροίσαντα, ἀφ' ὧν Τάχως αὐτῷ ἔπεμψε χρημάτων, καὶ πλοῖα πληρώσαντα καὶ τριάκοντα συμβούλους λαβόντα πλεῦσαι εἰς Αἴγυπτον, λέγει ὁ Διόδ. (15, 92) αὐτὸν ὑπὸ τῶν Λακεδαιμονίων ἐπὶ συμμαχίαν ἀπεστάλθαι («καὶ τῶν μὲν μισθοφόρων τὴν ἡγεμονίαν παρέδωκεν Ἀγησιλάῳ τῷ Σπαρτιάτῃ, ἀπεσταλμένῳ μὲν ὑπὸ Λακεδαιμονίων ἐπὶ συμμαχίᾳ μεθ' ὁπλιτῶν χιλίων»). Φέρεται δ' εἶτα παρ' ἐκείνῳ μέν, ὅτι ὁ Τάχως σὺν τῷ Ἀγησιλάῳ καὶ ταῖς ἑαυτοῦ δυνάμεσι κατὰ θάλασσαν ἐπὶ τοὺς Φοίνικας ἐξέπλευσε («καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας αὐτῷ») παρὰ τούτῳ δέ, ὅτι κατὰ γῆν ἡ ἐπὶ τοὺς Φοίνικας ἐγένετο στρατεία («τῆς γὰρ δυνάμεως αροελθούσης πορρωτέρω καὶ περὶ Φοινίκην καταστρατοπεδευούσης»). Ἀπόντος δὲ τοῦ Τάχω ἐν Φοινίκῃ ἀπέστη Νεκτάναβις, ἀνεψιὸς ὢν αὐτοῦ, καὶ ὑπὸ τῶν Αἰγυπτίων βασιλεὺς ἀναγορευθεὶς μετεπέμπετο τὸν Ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν, ὡς παρὰ Πλουτάρχου διδασκόμεθα (37). Πάντῃ διάφορα δ' ὅμως τὰ ὑπὸ τοῦ Διοδώρου ἱστορούμενα· οὗτος γάρ φησι τὸν τῆς Αἰγύπτου καθεσταμένον στρατηγὸν ἀποστῆναι ἀπὸ τοῦ βασιλέως, διαπεμψάμενον δὲ πρὸς τὸν υἱὸν Νεκτανεβὼ καὶ πείσαντα ἀντέχεσθαι τῆς ἐν Αἰγύπτῳ βασιλείας, μέγαν ἐκκαῦσαι πόλεμον. «Ὁ γὰρ Νεκτανεβὼς» ἀναγινώσκομεν εὐθὺς κατωτέρω «ὑπὸ τοῦ βασιλέως τεταγμένος ἡγεμὼν τῶν ἐξ Αἰγύπτου στρατιωτῶν, καὶ πεμφθεὶς ἐκ τῆς Φοινίκης πολιορκεῖν τὰς ἐν τῇ Συρίᾳ πόλεις, συγκάταινος γενόμενος ταῖς τοῦ πατρὸς ἐπιβολαῖς, τοὺς μὲν ἡγεμόνας δωρεαῖς, τοὺς δὲ στρατιώτας ἐπαγγελίαις προτρεψάμενος ἔπεισε συναγωνιστὰς γενέσθαι. Τέλος δὲ καταληφθείσης ὑπὸ τῶν ἀποστατῶν τῆς Αἰγύπτου, ὁ μὲν Ταχὼς καταπλαγείς ....» Οὐ μὴν ἀλλ' ἔτι μᾶλλον ἀπ' ἀλλήλων ἀπᾴδουσιν ἐν τῇ περὶ τῆς περαιτέρω τύχης τοῦ Τάχω ἀφηγήσει, ὅπερ σαφῶς, οἶμαι καταδείκνυσιν, ὅτι διαφόρους καὶ οὐ τὸν αὐτὸν συνεβουλεύοντο ἱστορικόν. Τοῦ μὲν γὰρ Πλουτ. λέγοντος τὸν μὲν Τάχων ἐρημωθέντα τῶν μισθοφόρων φυγεῖν, ἕτερον δ' ἐκ Μένδητος τῷ Νεκτανάβιδι ἀποστάντα καὶ βασιλέα ἀνακηρυχθέντα σὺν δέκα ἐπιέναι μυριάσιν ἀνθρώπων,

ἐξ οὗ καὶ μέγας ἐξερράγη πόλεμος, διδάσκει ἡμᾶς ὁ Διόδ. (15, 92—93) ὅτι ἀναβὰς ὁ Ταχὼς πρὸς τὸν βασιλέα καὶ στρατηγὸς ὑπ' αὐτοῦ τοῦ πρὸς τοὺς Αἰγυπτίους πολέμου ἀποδειχθεὶς ἐπανῆλθε πρὸς τοὺς περὶ τὸν Ἀγησίλαον («Τοῦ δὲ βασιλέως Ταχὼ ἐπανελθόντος πρὸς »τοὺς περὶ τὸν Ἀγησίλαον Νεκτανεβὼς ἠθροικὼς στρατιώτας πλείους »τῶν μυριάδων ἧκεν ἐπὶ τὸν Ταχώ, καὶ προεκαλεῖτο περὶ τῆς βασιλείας διαγωνίσασθαι.») Ἀκολουθεῖ δὲ μέγας μετὰ ταῦτα ἀγὼν κατὰ μὲν τὸν Πλούτ. τοῦ Νεκτανάβιδος ὑπὸ τοῦ Ἀγησιλάου βοηθουμένου πρὸς τὸν ἐκ Μένδητος νένν τῶν Αἰγυπτίων βασιλέα, κατὰ δὲ τὸν Διόδ. τοῦ Ταχώ, βοηθὸν ἔχοντος τὸν Ἀγησίλαον, πρὸς τὸν Νεκτανεβώ. Καὶ ὅτι μὲν ὁ Τάχως τῶν μισθοφόρων ἐρημωθεὶς εἰς Περσίαν ἔφυγε καὶ ὑπὸ τοῦ Θεοπόμπου διδασκόμεθα· φέρεται γὰρ παρ' Ἀθην. 14, 616, d-e «ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὥς φησι »Θεόπομπος καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τοῖς Αἰγυπτιακοῖς, οὐδὲν »αὐτῷ συμπράξας (τῷ Τάχῳ ὁ Ἀγησίλ.) ἐποίησεν ἐκπεσόντα τῆς »ἀρχῆς φυγεῖν εἰς Πέρσας.» Ὅτι δ' ὅμως εἰς Αἴγυπτον ἐπανῆλθε μόνος ὁ Διόδωρος γινώσκει. Ἵνα δὲ ταῦτα Sievers θεραπεύσῃ παρατηρεῖ ὅτι ὁ Διόδωρος ἐνταῦθα τὸ τοῦ Τάχω ὄνομα πρὸς τὸν ἕτερον, τὸν τῆς ἀρχῆς ἀντιποιούμενον, συνέχεε, προστιθεὶς ὅτι ὁ Τάχως μικρὸν μετὰ ταῦτα χρόνον ἐν Ἀσίᾳ ἔζη, ὡς ὁ Αἰλιαν. ἐν-Π. ἱ. 5, 1, ἱστορεῖ[1]. Καὶ οὐ μὲν ἄν τις τὸ ὀρθὸν ἀρνήσαιτο τῆς παρατηρήσεως, οὐ μέντοι ἔμοι γε δοκεῖ ἐκ συγχύσεως τὸν Διοδ. τὸν ἕτερον ἀντὶ τοῦ ἑτέρου ὀνομάζειν, ἀλλ' οὕτω ταῦτα παρὰ τῇ πηγῇ αὐτοῦ ἱστορούμενα εὑρηκέναι· καὶ ἐν τοῖς ἑπομένοις γὰρ διατελεῖ ἡ διαφορὰ ὑφισταμένη. Τάδε δὲ παρ' Αἰλιανῷ φέρεται «Ταχὼς ὁ Αἰγύπτιος, ἕως μὲν ἐχρῆτο »τῇ ἐπιχωρίῳ διαίτῃ, καὶ εὐτελῶς διεβίῳ, ὑγιεινότατος ἀνθρώπων »διῆγεν. Ἐπεὶ δὲ εἰς Πέρσας ἀφίκετο, καὶ εἰς τὴν ἐκείνων τρυφὴν »ἐξέπεσε τὸ ἄηθες τῶν σιτίων οὐκ ἐνεγκών, ὑπὸ δυσεντερίας τὸν βίον »κατέστρεψε, τῆς τρυφῆς ἀλλαξάμενος θάνατον.» Ἀρκούμενος τῷ μνημονεῦσαι μόνον ἀφηγήσεώς τινος τούτων τοῦ Ξενοφ. (Ἐγκώμ.

[1] Sievers: Geschichte Griechenlands σελ. 376, παρατ. 152... Hieraus geht wohl zur Genüge hervor, dass Tachos nicht wieder zurückgekehrt sei, wie Diod. XV, 93 erzählt, der ihn offenbar mit dem später gegen Nektanabis sich erhebenden Kronprätendenten verwechselt. Tachos lebte noch eine Zeit lang bei den Persern. Πρβλ. καὶ Hertzberg σελ. 370, παρατ. 250 καὶ 251α.

2, 30—31), πάντη τῶν εἰρημένων διαφόρου, παρατηρῶ τελευταῖον ὅτι καὶ περὶ τοῦ ἐν ᾧ ὁ Ἀγησίλαος ἐτελεύτησε τόπῳ οὐ πάντη τῷ αὐτῷ τῆς ἱστορήσεως τρόπῳ χρῶνται. Ὁ μὲν γὰρ βιογράφος φησὶ «Χειμῶνος δὲ ὄντος ἤδη τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ καὶ περὶ τὴν «Λιβύην εἰς χωρίον ἔρημον κομισθείς, ὃ καλοῦσι Μενελάου λιμένα, »θνήσκει....» ὁ δὲ Διόδ. «ἐπανιὼν δὲ εἰς τὴν πατρίδα διὰ Κυρήνης »ἐτελεύτησε....»

Τούτων οὖν οὕτως ἐχόντων οὐδεὶς ἄν, οἶμαι, ὑπολάβοι τὸν Πλούτ. ταῦτα παρὰ τοῦ αὐτοῦ παρειληφέναι, παρ' οὗ καὶ τὸν Διόδωρον. Πιθανώτερον δ' ἔμοι γε δοκεῖ τὸν ἡμέτερον βιογράφον ἐν τοῖς τοῦ Θεοπόμπου συγγράμμασι ταῦτα οὕτως ἱστορούμενα εὑρηκέναι καὶ αὐτῷ ἠκολουθηκέναι, ἐκ τῶν ἐν κεφ. 36 καὶ 40 χωρίων ταῦτα εἰκάζοντι, ἅπερ ἀναμφιλέκτως τοῦ Θεοπόμπου ἐστίν. Ἂν τις γὰρ τὰ μὲν τοῦ 36, ἔνθα περὶ τῆς ἐν Αἰγύπτῳ ὑποδοχῆς τοῦ Ἀγησιλάου ὑπὸ τῶν τοῦ Τάχω ἀπεσταλμένων ὁ λόγος ἐστι, πρός τινα ἀποσπάσματα τοῦ Θεοπόμπου παραβάλῃ, ἅπερ ὁ Ἀθήναιος 14, 416 d-c καὶ 9, 384 α, καὶ 15,676 c-d ἡμῖν διέσωσε, τὰ δὲ τοῦ 40, ἐν ᾧ περὶ τοῦ θανάτου τοῦ Ἀγησιλ. ἱστορεῖται, πρός τι χωρίον τοῦ Κορν. Νέπ. ἐν β. Ἀγησ. 8, 6—7, πάντη παραπλήσια ταῦτα εὑρίσκει. Καὶ ἀληθὲς μέν, ὅτι οὐχ ὡρισμένως εἰπεῖν ἔχομεν, εἰ τὰ τοῦ Κορνηλίου παρὰ τοῦ Θεοπόμπου ἐστίν, οὐ μήν γε ἀπίθανα ταῦτα διὰ τοῦτο ἡγούμεθα, ὅτι τὰ ἀμέσως πρὸ τούτου ἀναγινωσκόμενα ἀναμφιλέκτως παρ' αὐτοῦ παρειλημμένα ἐστίν. Ἀποβλέποντες οὖν ἅμα μὲν τῇ μεγάλῃ τῶν ἀφηγήσεων ὁμοιότητι τοῦ 36 καὶ 40 κεφ. τῆς παρὰ Θεοπόμπῳ φερομένοις, ἅμα δὲ τῇ ἀκριβείᾳ καὶ διεξοδικότητι, μεθ' ὧν τὰ καθ' ἕκαστα ἱστορεῖ ὁ Θεόπομπος, οὐ πόρρω τῆς ἀληθείας εἶναι δόξομεν, ἣν ἀποδεξώμεθα, ὅτι καὶ τὰ ἐν τοῖς ἄλλοις κεφ. περὶ τῶν ἐν Αἰγύπτῳ φερόμενα, εἰ οὐχ ἅπαντα, ἀλλὰ τὰ πλεῖστά γε παρὰ τοῦ Θεοπόμπου ἀντιγέγραπται. Καὶ ὅπως σαφέστερον ταῦτα καταδειχθῇ τὰ παραπλήσια παρατιθέμεθα χωρία.

Πλούτ. 36.	*Ἀθήν. 14, 616,* d-e.
Ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. Ἦν	Καὶ Ταχὼς δ' ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώψας τὸν Λακεδαιμονίων βασιλέα, ὅτ' ἦλθεν αὐτῷ συμμαχήσων, ἦν γὰρ βραχὺς τὸ σῶμα,

δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. Ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα... σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν, ὅτι τοῦτο ἦν τὸ μυθολογούμενον· ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν.

ἰδιώτης ἐγένετο, ἀποστάντος ἐκείνου τῆς συμμαχίας· τὸ δὲ σκῶμμα τοῦτ' ἦν

Ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν·

ὅπερ ἀκούσας ὁ Ἀγησίλ. καὶ ὀργισθεὶς ἔφη, φανήσομαί σοί ποτε καὶ λέων· ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὥς φησι Θεόπομπος καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τοῖς Αἰγυπτιακοῖς, οὐδὲν αὐτῷ.....

Καὶ τοῦ ἀμέσως ἑπομένου, ἐν ᾧ περὶ τῶν ὑπὸ τοῦ Τάχω πεμφθέντων δώρων τῷ Ἀγησιλάῳ φέρεται, ὁ Θεόπομπος πηγή ἐστιν, ὥς ἐστιν ὑπὸ τῶν παρὰ Ἀθην. εὑρισκομένων ἐννοῆσαι.

Πλούταρχος 36.

Ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δέ καὶ πέμματα καὶ μύρα διωθεῖτο, καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας.

Ἀθήναιος 9, 384, a.

Θεόπομπος μὲν ἔχῃ ὁ Χῖος ἐν ταῖς Ἑλληνικαῖς κἀν τῇ τρισκαιδεκάτῃ δὲ τῶν Φιλιππικῶν, Ἀγησιλάῳ τῷ Λάκωνι εἰς Αἴγυπτον ἀφικομένῳ πέμψαι τοὺς Αἰγυπτίους χῆνας καὶ μόσχους σιτευτούς. (Καὶ 14, 657, β' c.).. χηνῶν δὲ σιτευτῶν καὶ μόσχων Θεόπομπος ἐν τρισκαιδεκάτῳ Φιλιππικῶν καὶ ἑνδεκάτῳ Ἑλληνικῶν, ἐν οἷς ἐμφανίζει τὸ περὶ τὴν γαστέρα τῶν Λακώνων ἐγκρατὲς γράφων οὕτως καὶ οἱ Θάσιοι ἔπεμψαν Ἀγησιλάῳ προσιόντι πρόβατα παντοδαπὰ καὶ βοῦς εὖ τεθραμμένους πρὸς τούτοις δὲ καὶ πέμματα καὶ τραγημάτων εἶδος παντοδαπόν. Ὁ δὲ Ἀγησίλ. τὰ μὲν πρόβατα καὶ τοὺς βοῦς ἔλαβε, τὰ δὲ πέμματα καὶ τὰ τραγήματα πρῶτον μὲν οὐδὲ ἔγνω... λιπαρούντων δὲ τῶν Θασίων δότε, φησί, φέροντες ἐκείνοις, δείξας αὐτοῖς τοὺς εἵλωτας εἰπὼν ὅτι τούτους δέοι διαφθείρεσθαι τρώγοντας αὐτὰ πολὺ μᾶλλον ἢ αὐτὸν καὶ τοὺς παρόντας Λακεδαιμονίων.

Τὸ αὐτὸ καὶ περὶ τοῦ τελευταίου τοῦ κεφ. μέρους λεκτέον.

Πλούτ.

Τῇ μέν τοι στεφανωτρίδι βύβλῳ φησὶν αὐτὸν ἡσθέντα Θεόφραστος διὰ τὴν λιτότητα καὶ καθαριότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν, ὅτε ἀπέπλεε, παρὰ τοῦ βασιλέως.

'Αθήναιος 15, 676, c-d

Γελοῖοι οὖν εἰσι καὶ οἱ λέγοντες ναυκρατίτην εἶναι στέφανον.-.. παρατιθέμενοι Θεοπόμπου ἐκ τῆς τρίτης τῶν 'Ελληνικῶν, ὅς φησιν 'Αγησιλάῳ τῷ Λάκωνι παραγενομένῳ εἰς Αἴγυπτον δῶρα πέμψαι τοὺς Αἰγυπτίους ἄλλα τέ τινα καὶ δὴ καὶ τὴν στεφανωτρίδα βίβλον.

Τούτοις δὲ καὶ τὰ ὑπὸ τοῦ Κορν. Νέπ. ἱστορούμενα παραβλητέα, ἅ περ τῷ Θεοπόμπῳ προδήλως ἀνάγεται.

(Ages. 8, 2) Quod ei usu venit, cum annorum LXXX subsidio Tacho in Aegyptum iisset et in acta cum suis accubuisset sine ullo tecto statumque haberet tale, ut terra tecta esset stramentis neque huc amplius quam pellis esset injecta, eodemque comites omnes accubuissent vestitu humili atque obsoleto, ut eorum ornatus non modo in his regem neminem significaret, sed homines esse non beatissimus suspicionem praeberet. Hujus de adventn fama cum ad regios esset perlata, celeriter munera eo cujnsque generis sunt allata.... unguenta, coronas secundamque mensam servis dispertiit, cetera referri jussit.

Πλὴν τοῦ Πλουτ. ἱστοροῦσι περὶ τοῦ θανάτου τοῦ 'Αγησιλ. καὶ περὶ τῶν δωρεῶν, ἃς αὐτῷ ὁ τῶν Αἰγυπτίων ἔδωκε βασιλεύς, καὶ οἵδε· ὁ Διόδ. (15, 39) λέγων «ἐπανιὼν δὲ εἰς τὴν πατρίδα διὰ Κυ»ρήνης ἐτελεύτησε·» ὁ Ξενοφ. ('Εγκώμ. 2, 31), ὃς οὐδὲν περὶ τοῦ τρόπου οὐδὲ τοῦ τόπου λέγων, τάδε ἀφηγεῖται «καὶ φίλον ποιήσας »τῇ Λακεδαίμονι καὶ χρήματα πολλὰ προσλαβὼν οὕτως ἀποπλεῖ «οἴκαδε καίπερ μέσον χειμῶνος ὄντος, σπεύδων ὡς μὴ ἀργὸς ἡ πόλις » εἰς τὸ ἐπιὸν θέρος πρὸς τοὺς πολεμίους γένοιτο·» καὶ 11, 16 «τίνα δὲ νέον οἱ φίλοι ἐπόθησαν ἢ 'Αγησίλαον γηραιὸν ἀποθανόντα;» ὁ Παυσ., ὃς ἐν ὀλίγοις μνημονεύει πάσης τῆς τοῦ 'Αγησ. εἰς Αἴγυπτον στρατείας «...καὶ ἦν γὰρ ἤδη γέρων, τὸν μὲν κατὰ τὴν πορείαν »ἐπέλαβεν ἡ μοῖρα· Λακεδαιμόνιοι δέ...» 'Ως μάλιστα δ' ὅμως συν-

ᾄδει ἀλλήλοις ὅσα ὁ Πλούτ. καὶ ὁ Κορν. Νεπ. περὶ τούτων ἱστοροῦσιν. Ἐξαιρουμένου γὰρ τοῦ τῶν ταλάντων ποσοῦ, ὅπερ ὁ βασιλεὺς τῷ Ἀγησιλάῳ ἐδωρίσατο (διακόσια καὶ τριάκοντα τάλαντα κατὰ Πλούτ., κατὰ δὲ Κορν. Ν. εἴκοσι καὶ διακόσια) τἄλλα πάνυ ὅμοιά ἐστιν, ὡς ἐντεῦθεν καθίσταται δῆλον.

Πλούτ. 40.

Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. Χειμῶνος δὲ ὄντος ἤδη τῆς γῆς ἐχόμενος τοῖς ναυσὶ καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθείς, ὃ καλοῦσι Μενελάου λιμένα, θνήσκει.. οἱ (δὲ) παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ μέλιτος οὐ παρόντος ἀπῆγον εἰς Λακεδαίμονα.

Κορν, Νέπ. Ἀγησ. 8, 6—7.

Hic cum ex Aigypto reverteretur, donatus a rege Nektanabide ducentis viginti talentis quae ille muneri populo suo daret, venissetque in portum, qui Menelai vocatur, jacens inter Cyrenas et Aigyptum, in morbum implicitus decessit. Ibi eum amici, quo Spartam facilius perferre possent, quod mel non habebant, cera circumfunderunt atque ita domum retulerunt.

Πρὶν πέρας τῇ ἡμετέρᾳ ἐπιθῶμεν ἐργασίᾳ ἀναγκαῖον ἡγούμεθα δύο ἔτι παρατηρῆσαι. *Πρῶτον*. Ὀνομάζει ἐν τέλει τοῦ κεφ. 36 ὁ Πλούτ., ἔνθα περὶ τῆς στεφανωτρίδος βίβλου ὁ λόγος ἐστί, τὸν Θεόφραστον ὡς τοῦτο ἱστορήσαντα. Ἀλλὰ τοῦθ' ὅμως ἐσφαλμένον δοκεῖ εἶναι· καὶ γὰρ ὁ Ἀθήναιος περὶ τούτου ἱστορῶν, ὡς μικρὸν ἔμπροσθεν εἴρηταί μοι, διαρρήδην φησὶ τὸν Θεόπομπον ταῦτα ἱστορηκέναι. Ἐπεὶ δ' ἀμφότεραι αἱ ἀφηγήσεις, ἥ τε τοῦ Πλουτ. καὶ ἡ τοῦ Θεοπόμπου, πάντη ἐν πᾶσι τοῖς ἄλλοις συνᾴδουσιν, οὐκ εἰκὸς ἀμφιβάλλειν, ὅτι ὁ Θεόπομπος ἐνταῦθα καὶ οὐχ ὁ Θεόφραστος ἐννοητέος ἐστι. Τὸ τοῦ Θεοφράστου ὄνομα οἶμαι γραφέως τινὸς ἁμαρτήματι ἢ ἀντιγραφέως ὀλιγωρίᾳ τῷ προκειμένῳ παρεισφρεῖσαι χωρίῳ, γνωστοῦ ὄντος, ὅτι σφάλματα τοιαῦτα πάμπολλα ἐν τῇ ἀντιγραφῇ συμβαίνει.[1]

Δεύτερον. Ἡ λέξις *Θάσιοι* εὕρηται ἐν τῷ τοῦ Ἀθην. χωρίῳ (14, 657, β), ἐν ᾧ τὰ περὶ τῶν τοῦ Τάχω ἀπεσταλμένων καὶ τῶν ὑπ' αὐτῶν τῷ Ἀγησιλάῳ προσενεχθέντων δώρων ἱστορεῖ ὁ Θεόπομπος. Ἀλλὰ

[1] Πρβλ. Müller, hist. graec. Fragm. I, 11, καὶ Haug σελ. 57.

τὸ τῶν Θασίων ὄνομα εἰκότως ἀμφιβολίαν παρέχει, πλημμελῶς καὶ τοῖς πράγμασιν ἐνοικείως κείμενον. Τοῦτ' οὖν διατριβεῖς περὶ τὰ τοιαῦτα ἄνδρες διιδόντες ἐπειράθησαν ἰάσασθαι καὶ τὸ ὀρθὸν ἀποκαταστῆσαι. Οὕτω τοίνυν ἐν τῇ τοῦ Müller συλλογῇ τῶν ἀποσπασμάτων τῶν Ἑλλην. ἱστορικῶν εὕρηται ἡ παρατήρησις. «Ὅτι *αἱ λέξεις* »*Θάσιοι* καὶ *λιπαρούντων τῶν Θασίων* ἐφθαρμέναι εἰσίν, ἱκανῶς ἐκ »τοῦ αὐτοῦ Ἀθηναίου καταφαίνεται 9, 384, α: Θεόπομπος μὲν ἔφη »ὁ Χῖος... κλπ. ταὐτὸ δὲ καὶ ἐκ τοῦ Κορν. Νέπ. Ἀγησ. 8 ἐξάγεται, »ὃς προδήλως τὸν Θεόπομπον πηγὴν ἔσχε Quod ei usu-jussit. Ἐν »τούτοις οὖν τοῖς χωρίοις παραπλησίως ἱστορεῖται τὰ τῶν Αἰγυ»πτίων, οὐδὲ λέγεταί που τὸν Ἀγησ. τοῖς Θασίοις βεβοηθηκέναι ἢ »ὅλως πρὸς αὐτοὺς κοινὸν ἐσχηκέναι. Πρόδηλον τοίνυν ἐστὶν ὅτι τὸ »τοῦ βασιλέως Τάχω ὄνομα αἴτιον ἐγένετο τῆς διαφθορᾶς. Ὅθεν »μετὰ τοῦ Wichers ἀναγνωστέον: *καὶ ὁ Ταχὼς ἔπεμψεν* ἀντὶ *καὶ* »*οἱ Θάσιοι ἔπεμψαν*, καὶ *τῶν τοῦ Ταχὼ* (στρατηγῶν) ἀντὶ *τῶν Θα*»*σίων*.[1]» Καὶ ὁ Haug φησὶ περὶ τούτου «μόνον ἐν τῷ γνωστῷ τοῦ »Ἀθηναίου χωρίῳ 14, 657 B ἀντὶ *Θάσιοι*, ὅπερ οὐδεμίαν παρέχει »ἔννοιαν *Τάχιος* (ᾧ ὁ Ἀγησίλ. ἐβοήθει) ἀναγνωσθῆναι δεῖ, ὡς ὁ Müller Fragn 281) ὀρθῶς διορθοῖ.[2]»

Ὅτι ἐπιτυχεῖς αἱ παρατηρήσεις αὗται καὶ ὀρθαί εἰσιν, οὐδένα οἶμαι ἀρνήσεσθαι· ὅτι δ' ὅμως καὶ ἡ διόρθωσις τοῦ *οἱ Θάσιοι ἔπεμψαν* εἰς *ὁ Τάχως (Haug Τάχιος) ἔπεμψε*, καὶ *τῶν Θασίων λιπαρούντων* εἰς *τῶν τοῦ Τάχω λιπαρούντων* ὀρθή ἐστιν, οὐκ ἔγωγε ἀποδέξασθαι δύναμαι· οὐ γὰρ εὔκολον εἶναι οἶμαι τὸ **Ο ΤΑΧΩΣ** εἰς **ΟΙΘΑΣΙ Ι** μεταβληθῆναι, τῆς ἀπ' ἀλλήλων διαφορᾶς τῶν γραμμάτων οὐ σμικρᾶς οὔσης. Διὸ ἔμοιγε δοκεῖ ὀρθότερον ἂν εἶναι, ἐὰν

[1] Müller, Fr. 281 «Verba *θάσιοι* et *λιπαρούντων δὲ τῶν θασίων* corrupta esse satis apparet ex eoden Athenaeo 9, 384 α, Θεόπομπος μὲν ἔφη ὁ Χῖος... etc. idemque colligitur ex Nep. Ages. 8, quem Theopompum habuisse autorem in aperto est : Quod ei usu — jussit. His locis eadem res constanter de Aegyptiis narratur neque usquam traditur Agesil. Thasiis opem tulisse, aut omnino negotii quid cum iis habuisse. Elucet nomen Tachi regis corruptelae ansam dedisse, quare cum Vicherio legamus : καὶ ὁ Ταχὼς ἔπεμψε pro καὶ οἱ Θάσιοι ἔπεμψαν, et τῶν τοῦ Ταχὼ (στρατηγῶν) pro τῶν Θασίων.

[2] Haug σελ. 37 Nur muss man in der betreffenden Stelle des Athen. 14, p. 657 B für Θάσιοι, was gar keinen Sinn giebt, Τάχιος (dem Agesil. half), lesen, wie Müller Fragm. I, p. 281 richtig emendirt.

μὴ τὸ *οἱ Θάσιοι ἔπεμψαν* εἰς *ὁ Ταχὼς ἔπεμψε* μεταβληθῇ, ἀλλ' εἰς *οἱ Τάχιοι* (ὅπερ οἱ τοῦ Τάχω ἄνθρωποι σημαίνει) *ἔπεμψαν*, καὶ τὸ *τῶν Θασίων λιπαρούντων* εἰς *τῶν* Ταχ*ίων λιπαρούντων*. Τὰ ὑπὸ τοῦ Τάχω τῷ Ἀγησιλ. πεμφθέντα δῶρα οὐ πάνυ πολύτιμα ἦν, ἀλλὰ χῆνες καὶ μόσχοι καὶ ἄλλα ὅμοια· οὔκουν ἀναγκαῖον τὸν βασιλέα αὐτὸν τούτων φροντίζειν, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοῦ. Πρὸς δ' ἔτι ἐάν τις καὶ τοῖς γράμμασι τῶν περὶ οὗ ὁ λόγος λέξεων ἀπίδῃ, πάραυτα κατανοεῖ, ὅτι εὐκόλως πάνυ τοιαύτη τῶν γραμμάτων μεταβολὴ γενέσθαι δύναται (ΟΙΤΑΧΙΟΙ-ΟΙΘΑΣΙΟΙ, ΤΩΝΤΑΧΙΩΝ ΤΩΝΘΑΣΙΩΝ). Τοῦτο δὲ ἤτοι διότι τὰ γράμματα Τ καὶ Σ ἐξίτηλα ἦν καὶ οὐχ οἱός τ' ἦν ὁ ἀντιγραφεὺς ῥᾳδίως ταῦτα ἀναγνῶναι, ἤ, ὅπερ πιθανώτερον ἔμοι γε δοκεῖ, ἐπειδὴ ὁ νοῦς τοῦ χωρίου ἀσαφὴς αὐτῷ ἦν, οὐ νοῆσαι δυναμένῳ, ὅ,τι ποτε τὸ Τάχιοι ἐσήμαινε, μετεποίησε μόνον τὰ γράμματα Τ εἰς Θ καὶ Χ εἰς Σ καὶ πάραυτα τοὺς Ταχίους Θασίους ἡμῖν ἀναπέφηνεν, οὐδαμῶς περὶ τούτου φροντίζων, εἰ ὄντως ὁ Ἀγησίλαος κοινόν τι πρὸς τοὺς Θασίους εἶχε.

ΒΙΟΣ

Ἔτει 1856 ἐγεννήθην ἐν Μοναστηρίῳ, πόλει τῆς Μακεδονίας, πατρὸς Πέτρου καὶ μητρὸς Αἰκατερίνης. Ἐν τῇ πατρίδι τῆς πρώτης ἀπολαύσας παιδεύσεως μετέβην τῷ μὲν 1875 εἰς Θεσσαλονίκην, τὸ αὐτόθι ἀποπερατώσων γυμνάσιον, τῷ δὲ 1876 εἰς Ἀθήνας πρὸς εὐρυτέρας ἐν τῷ Ἑλληνικῷ Πανεπιστημίῳ σπουδάς. Ἐπεὶ δὲ τέσσαρα ἐν αὐτῷ ἐφοίτησα ἔτη, τῶν τῆς ἀρχαίας φιλολογίας ἀκροώμενος μαθημάτων, ἐπανῆλθον εἰς Μακεδονίαν καὶ ἐπὶ πέντε διετέλεσα διδάσκων ἔτη, μέχρι τοῦ ἔτους 1885. Τῷ δ' αὐτῷ ἔτει ὑπερμεσοῦντι εἰς τὴν σοφὴν ἀφικόμην Γερμανίαν, ἵνα τελειοτέρας ἀπολαύσω παιδεύσεως, ἔνθα διετέλεσα σπουδάζων ἓν μὲν ἔτος ἐν τῷ Πανεπιστημίῳ τῆς Γοττίγγης, ἓν δὲ ἐν τῷ τοῦ Βερολίνου, ἕνα δὲ ἑξάμηνον ἐν τῷ τῆς Λειψίας, ἔνθα καὶ τοῦ διδακτορικοῦ ἠξιώθην διπλώματος.

Ἔσχον δὲ καθ' ἅπαντα τὸν χρόνον τῶν ἐν Γερμανίᾳ σπουδῶν διδασκάλους τοὺς σοφοὺς Καθηγητὰς Κυρίους Sauppe, v. Wilamowitz-Möllendorff, Knoke, A. Kirchhoff, Vahlen, Diels, Hübner, Köhler, Paulsen, Lipsius, Wachsmuth, Voigt, Heinze, οἷς καὶ βαθυτάτην ἐκφράζω καὶ θερμοτάτην εὐγνωμοσύνην, ἀνθ' ὧν με πνευματικῶς ὠφέλησαν καὶ εἰς τὴν ἐμὴν παίδευσιν συνετέλεσαν.

Ἐν Λειψίᾳ τῇ 3 Φεβρουαρίου 1888.

ΜΙΧΑΗΛ.

